www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ

## ΤΗΣ ΟΣΙΑΣ ΜΗΤΡΟΣ ΗΜΩΝ

# ΘΕΟΚΤΙΣΤΗΣ

## ΤΗΣ ΛΕΣΒΙΑΣ

ΕΚΔΙΔΟΤΑΙ ΝΥΝ ΤΟ ΠΡΩΤΟΝ

ΥΠΟ

**ΝΕΙΛΟΥ ΦΟΥΤΡΙΔΟΥ**

ΙΕΡΟΜΟΝΑΧΟΥ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ... ΠΑΠΑΣΤΡΑΤΟΥ

ΕΝ ΑΛΕΞΑΝΔΡΕΙᾼ

ΕΚ ΤΟΥ ΠΑΤΡΙΑΡΧΙΚΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ

1909

www.tezaurliturgic.ro

ΤΩι ΜΑΚΑΡΙΩΤΑΤΩι

ΠΑΤΡΙ ΜΟΙ ΠΑΠΑι ΚΑΙ

ΠΑΤΡΙΑΡΧΗι ΑΛΕΞΑΝΔΡΕΙΑΣ

ΚΩι ΦΩΤΙΩι

ΕΛΑΧΙΣΤΟΝ

ΑΝΘ' ΩΝ ΥΠΕΡ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΠΟΝΕΙ

ΜΕΤ' ΑΦΟΣΙΩΣΕΩΣ ΚΑΙ ΥΙΙΚΟΥ ΣΕΒΑΣΜΟΥ

Ο ΕΚΔΟΤΗΣ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

www.tezaurliturgic.ro

# ΑΝΤΙ ΠΡΟΛΟΓΟΥ

Προβαίνοντες σήμερον ἐπὶ τὴν ἔκδοσιν τῆς ἀκολουθίας τῆς ὁσίας Μητρὸς ἡμῶν Θεοκτίστης, τῆς Λεσβίας, καθῆκον ἡμῶν θεωροῦμεν, ὅπως δηλώσωμεν τοῖς ἀναγνώσταις, ὅτι τοῦτο πράττομεν ἀποβλέψαντες εἰς τὴν μεγάλην τιμήν, δι᾿ ἧς τιμῶσι τό τε ἱερὸν λείψανον καὶ τὴν ἱερὰν μνήμην τῆς ὁσίας ταύτης οἱ τῆς νήσου Ἰκαρίας κάτοικοι καὶ εἰς τὴν ἀπόλυτον ἀνάγκην ἧς οἱ ναοί, καὶ ἰδίᾳ αἱ μοναὶ αὐτῆς, τῆς Ἀκολουθίας ταύτης ἔχουσιν. Ἐν τούτῳ τὰ μάλιστα καὶ παρ᾿ ἐλπίδα ἐνισχύθημεν καὶ ἐκ τῆς ἀνευρέσεως ἐν χειρογράφῳ τοῦ ια´ αἰῶνος τοῦ βίου καὶ τῆς πολιτείας τῆς ὁσίας, γραφέντα ὑπὸ Συμεὼν τοῦ Μεταφραστοῦ, κατὰ τὰ τέλη τῆς Θ´ καὶ τὰς ἀρχὰς τῆς Ι´ μ. Χ. ἑκατονταετηρίδος ἀκμάσαντος, ἐν γλώσσῃ γλαφυρωτάτῃ, κινούσῃ τὸν θαυμασμὸν τοῦ ἀναγνώστου. Τὸν κεκρυμμένον τοῦτον θησαυρὸν ἐθεωρήσαμεν ἀπαραίτητον, ὅπως ἐπισυνάψωμεν τῇ παρούσῃ ἀκολουθίᾳ ἀντὶ παντὸς ἑτέρου Συναξαρίου, ἀποφεύγοντες οὕτω καὶ τὴν ἐν τῷ Νέῳ Παραδείσῳ (σ. 192—198) παράφρασιν αὐτοῦ, κατὰ τὸ πλεῖστον ἀτυχῆ. Τὸ κείμενον τῆς Ἀκολουθίας, ὡς καὶ ἀγγέλοντες τὴν ἔκδοσιν αὐτῆς εἴπομεν, διακρίνεται ἐπί τε λαμπρῶν ἐννοιῶν συναρμολογήσει καὶ γλαφυρότητι ὕφους, καίτοι ἐν πολλοῖς τυγχάνουσα ἀντιγραφὴ σχεδὸν τῶν ἀριστουργημάτων τῶν μεγάλων τῆς Ἐκκλησίας ὑμνογράφων. Ταύτην εὗρε καὶ ὁ ἐκδότης τῶν Ἐκκλησιαστικῶν Μηνολογίων ἐν τῷ χειρογράφῳ, ἐπὶ τῇ βάσει τοῦ ὁποίου πολλῶν καὶ ἄλλων ἁγίων τὰς ἀκολουθίας ἐξέδοτο· δὲν συνεξέδωκεν ὅμως καὶ τὸν βίον τῆς ὁσίας Θεοκτίστης ἐπὶ τῷ λόγῳ, ὅτι «ἀνώνυμος ὁ Κανὼν αὐτῆς καὶ ἄνευ ἀκροστιχίδος», ὡς ἐν τῇ Θ´ Νοεμβρίου δι᾿ ὑποσημειώσεως δηλοῖ.

Καὶ ὁποία μὲν ἡ ἀρχὴ τοῦ θεαρέστου βίου τῆς ὁσίας Θεοκτίστης καὶ ὁποῖον τὸ τέλος αὐτῆς ἡ κατὰ Συμεὼν τὸν Μεταφραστὴν ζωηρὰ διήγησις φανερώσει. Ποία ὅμως ἡ τύχη τοῦ ἱεροῦ αὐτῆς σκηνώματος μετὰ θάνατον, παντάπασιν ἀγνοεῖται, καὶ τὴν ἄγνοιαν ταύτην ἡ διήγησις ὁμολογεῖ διὰ στόματος τῶν θηρευτῶν. Τὸ ἐλλεῖπον ὅμως ἐντεῦθεν ἀναπληροῖ ἡ παράδοσις, ἡ παρὰ τοῖς Ἰκαρίοις κοινή, ἣν καὶ διὰ τοῦτο παραθέτομεν ἐνταῦθα ἐν τῇ δυνατῇ συντομίᾳ. Κατὰ ταύτην, πλοῖον ἐπίτηδες ἐκ Λέσβου πεμφθέν, ὅπως ἐκ Πάρου εἰς τὴν πάτριον γῆν τῆς ὁσίας τὸ λείψανον μεταφέρῃ καὶ ὑπ᾿ ἐναντίων ἀνέμων παρακωλυθὲν προσήραξεν εἴς τινα ὅρμον τῆς νήσου (Αἱ)Γιαλισκάριον καλούμενον καὶ ἐν τῷ ζ´ τμήματι Περαμερίας κείμενον. Οἱ κάτοικοι ὅμως τῆς νήσου νοήσαντες, ὅτι ἐν τῷ πλοίῳ θησαυρὸς ἀτίμητος εὕρητο, τὸ λείψανον ἁγίας τινός, λαθραίως ὑπέκλεψαν αὐτὸ καὶ ἵνα μὴ ἀνακαλυ-

www.tezaurliturgic.ro



φθῶσιν ἔκρυψαν αὐτὸ ἐντὸς σπηλαίου ἐπὶ ἀποκρήμνων βράχων ἐν μαγευτικωτάτῃ καὶ συσκίῳ, ὑπὸ πευκῶν ἰδίᾳ, θέσει. Ἐν τῷ σπηλαίῳ τούτῳ τὸ ἱερὸν λείψανον ἔμεινεν ἐπὶ πολλὰς ἑκατονταετηρίδας καὶ προϊόντος τοῦ χρόνου παντελῶς ἐλησμονήθη, ἕνεκα τῆς ἀπ᾽ ἀρχῆς τηρηθείσης ἐχεμυθείας, φόβῳ τῶν ξένων. Πρὸ 300 ὅμως περίπου ἐτῶν κυνηγός τις, ἐπὶ θήραν μετὰ τοῦ σκύλακος αὐτοῦ ἐξελθών, τυχαίως ὅλως, αἰτίᾳ τοῦ σκύλακος, ἀνεῦρε σῶμα εὐωδιάζον, οὗτινος καὶ ἡ εὐωδία καὶ ἡ λοιπὴ σωματικὴ κατάστασις ἐφανέρου, ὅτι δὲν πρόκειται περὶ κοινοῦ τινος σώματος τεθνεῶτος ἀνθρώπου. Διαδραμὼν λοιπὸν τὰ περίχωρα ἐκήρυξε τοῖς πᾶσι τὴν ἀνακάλυψιν αὐτοῦ ταύτην, οἱ δὲ κάτοικοι συνελθόντες μετ᾽ εὐλαβείας ἠσπάζοντο τὸ ἄγνωστον λείψανον, ἐναποθέσαντες αὐτὸ εἰς ἕτερον, παραπλεύρως τοῦ πρώτου, σπήλαιον, εὐρυχωρότερον τοῦτο, εἰς τοποθεσίαν κληθεῖσαν «Θεοσκέπαστη». Μετ᾽ ὀλίγον ἀνήγειραν ἐκκλησίδιον, προσευξαμένων δὲ μιᾷ τῶν ἡμερῶν κοινῇ πάντων καὶ μετὰ δακρύων παρὰ Θεοῦ ζητησάντων τὴν χάριν, ὅπως ἀποκαλυφθῇ αὐτοῖς, τίνος ἁγίας τὸ λείψανον ηὐτύχησαν νὰ ἔχωσιν, ἐνεφανίσθη καθ᾽ ὕπνον εἰς ἀγαθόν τινα γέροντα, τὸν Ὁσιώτατον Ἰωάσαφ, αὐτὴ ἡ ἁγία, ἧς τὸ λείψανον, καὶ εἶπεν αὐτῷ: «εἰμὶ τὴν τάξιν μοναχή, πατρίς μού ἐστιν ἡ Λέσβος, ἠσκήτευσα ἐν τῇ νήσῳ Πάρῳ χρόνους 35, μετὰ δὲ ταῦτα ἀφικόμην ἐνταῦθα, ἵνα φρουρῶ καὶ σκέπω τὴν νῆσον ταύτην· ὀνομάζομαι δὲ Θεοκτίστη». Ἐγερθεὶς ἐκ τοῦ ὕπνου ὁ ὁσιώτατος Ἰωάσαφ ἐν συγκινήσει διηγήσατο τὸ ὅραμα εἰς τὸ παρεστὼς πλῆθος, ὅπερ μετ᾽ εὐλαβείας ἀκροασθὲν τῶν λόγων τοῦ Ἰωάσαφ μιᾷ γνώμῃ ἀπεφάσισεν, ὅπως κοινῷ ἐράνῳ νέον εὐρύχωρον ναὸν πρὸς τιμὴν τῆς ὁσίας ἱδρύσῃ, ὅστις πράγματι καὶ ἀνηγέρθη, ὡς μικρὰ Μονὴ μεθ᾽ Ἡγουμένου, τοῦ ἀνωτέρω Ἰωάσαφ, ἱδρυτοῦ αὐτῆς θεωρηθέντος, ὑπὸ τὸ ὄνομα Ἱερὰ Μονὴ τῆς ὁσίας Θεοκτίστης.

Τῆς ἱερᾶς ταύτης Μονῆς ἐπὶ 50 ἔτη ἡγουμένευσεν ὁ ***Ἰωάσαφ*** οὗτος ***Κεφαλᾶς,*** μετ᾽ αὐτὸν ὁ ***Μελέτιος Γάρδιας*** ἱερομ., εἶτα ὁ ***Γεράσιμος Γάρδιας*** ἱερομ., ***Λεόντιος Γάρδιας*** ἱερομ., ***Σαμουὴλ Κουλουλίας*** ἱερομ., ***Λεόντιος Καράμαλης*** ἱερομ., ***Γρηγόριος Φράντας*** ἱερομ., ***Ἰωσὴφ Πλάκας*** ἱερομ. καὶ ***Δανιὴλ Κυριακουδάκης*** ἱερομ. ὅστις καὶ σήμερον μετὰ ζήλου καὶ εὐσεβείας διοικεῖ ταύτην.

Ταῦτα κρίναντες τῇ ὑποθέσει σύμφορα προυτάξαμεν· δι᾽ ἐλπίδος δ᾽ ἔχομεν, ὅτι τὰ πολλὰ ἐλλείποντα ἡ ἐπιείκεια τοῦ ἀναγνώστου θὰ συγχωρήσῃ, ἀποβλέποντος εἴς τε τὴν ἡμετέραν ἀσθένειαν καὶ τὴν ἀπ᾽ ἀντικειμένου παντελῆ ἔλλειψιν τῶν μέσων.

*Ἀλεξάνδρεια, 10 Ἰουλίου 1909*

***Νεῖλος Φουτρίδης***
Ἱερομόναχος

## ΜΗΝΙ ΝΟΕΜΒΡΙΩ· Θ΄.

### ΜΝΗΜΗ ΤΗΣ ΟΣΙΑΣ ΜΗΤΡΟΣ ΗΜΩΝ

# ΘΕΟΚΤΙΣΤΗΣ ΤΗΣ ΛΕΣΒΙΑΣ

Ἐν τῷ μικρῷ Ἑσπερινῷ, εἰς τὸ «***Κύριε ἐκέκραξα***» ἱστῶμεν στίχους δ΄, καὶ ψάλλομεν στιχ. προσόμοια:

***Ἦχος δ΄. «Ὡς Γενναῖον ἐν Μάρτυσιν»***

Παρθενίαν ἀκήρατον, ἐμμελῶς ἐξασκήσασα, ἐνυμφεύθης χαίρουσα τῷ ποιήσαντι, ἀρνησαμένη τὴν πρόσκαιρον, ἀπόλαυσιν, ἔνδοξε, καὶ τὴν ἄσκησιν στερρῶς, καὶ τὸν δρόμον τελέσασα, κατηξίωσαι, οὐρανίου παστάδος, δυσωποῦσα τοῖς τιμῶσί σε, ὁσία, χάριν δοθῆναι καὶ ἔλεος. *(Δίς)*

Ἐγκρατείᾳ τὸ σῶμά σου, Θεοκτίστη, νεκρώσασα, τὴν ψυχὴν ἐζώωσας καὶ ἐκόσμησας, καὶ οἰκητήριον πνεύματος, σαυτὴν ἀπετέλεσας, καὶ συνήφθης μυστικῶς, τῷ νυμφίῳ καὶ κτίστῃ σου· ὃν ἱκέτευε ἐκ φθορᾶς καὶ κινδύνων λυτρωθῆναι τοὺς ἐν πίστει ἐκτελοῦντας τὴν ἀεισέβαστον μνήμην σου.

Τοὺς ἐκ πόθου τελοῦντάς σου, τὴν σὴν μνήμην, πανένδοξε Θεοκτίστη, λύτρωσαι τῆς κολάσεως, ταῖς σαῖς πρεσβείαις πρὸς Κύριον χρωμένη τὸν εὔσπλαγχνον, ᾧ παρίστασαι σεμνή, ὡς παρθένος ἀμόλυντος, καὶ κατεύθυνον, πρὸς αὐτὸν τὰς δεήσεις τῶν σῶν δούλων, τῶν ἐν πίστει τῷ ναῷ σου, ἀθροιζομένων εἰς αἶνόν σου.

***Δόξα. ἦχος δ΄.***

Πάντα νῦν κατέπληξεν ἡ βιωτή σου, Θεοκτίστη ἀοίδιμε, ὅτι ὑπὲρ φύσιν ἠγωνίσω, τοῦ σώματος παντελῶς ἀφειδήσασα. Ὅθεν καὶ τὰς ἀντιδόσεις, ἀρτίως καὶ πλουσίως ἀντιλαμβάνεις, πρεσβεύουσα ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

ΒΙΒΛΙΟΘΗΚΗ ... ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΣ

www.tezaurliturgic.ro



***καὶ νῦν***. Θεοτοκίον οἷον βούλει.

ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ, Στιχηρὰ προσόμοια:

***Ἦχος β΄. «Οἶκος τοῦ Εὐφραθᾶ»***

Ω τῆς σῆς βιωτῆς, ὁσία Θεοκτίστη, δι᾽ ἧς ἐθαυμαστώθης, ἐν κόσμῳ καὶ ἐν πόλῳ, δι᾽ ὃ νῦν σε γεραίρομεν.

Στίχ. Ὑπομένων ὑπέμεινα τὸν Κύριον.

Εὖγε τοῦ πρὸς Χριστόν, φίλτρου σου Θεοκτίστη, δι᾽ οὗ πάντα τὸν κόσμον ὡς σκύβαλα ἡγήσω, ἵνα Αὐτὸν κερδήσειας.

Στίχ. Καὶ ἔστησεν ἐπὶ πέτραν.

Πάντας τοὺς τὴν σεπτὴν μνήμην σου ἐκτελοῦντας, καὶ κατασπαζομένους, τὴν σὴν Ἁγίαν Κάραν, λύτρωσαι τῆς κολάσεως.

***Δόξα καὶ νῦν***. ὅμοιον:

Δέσποινα ἀγαθή, τὰς ἁγίας σου χεῖρας, πρὸς τὸν υἱόν σου ἆρον τὸν φιλόψυχον πλάστην, ῥύσασθαι τοὺς δούλους σου.

Ἀπολυτίκιον τῆς Ἁγίας καὶ Θεοτοκίον.

Καὶ ἀπόλυσις.

---

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Μετὰ τὸν προοιμιακὸν στιχολογοῦμεν τὸ «***Μακάριος ἀνήρ***». Εἰς δὲ τὸ «***Κύριε ἐκέκραξα***» ἱστῶμεν στίχους η΄, καὶ ψάλλομεν στιχηρὰ προσόμοια:

***Ἦχος β΄. «Ὅτε ἐκ τοῦ ξύλου σε Νεκρόν»***

Ἄρασα ἐπ᾽ ὤμων τὸν σταυρόν, ἔδραμες ὀπίσω, ὁσία, τοῦ σοῦ Νυμφίου Χριστοῦ, πόνοις τῆς ἀσκήσεως ἐγκαρτεροῦσα στερρῶς. Καὶ μὴ φέρων ὁ βάσκανος τὴν σὴν προθυμίαν, ἤγειρε τὸν Νήσιριν αἰχμαλωτῆσαί σε· ὅμως διαδρᾶσα λαθραίως τέλεον κατέβαλες, μῆτερ, τοῦ Χριστοῦ ἰσχύϊ τὸν ἀντίπαλον.

Πᾶσαν ἀπηρνήσω ἀληθῶς σχέσιν κοσμικήν, Θεοκτίστη, καὶ τῷ Κυρίῳ σου, ὅλην σου τὴν ἔφεσιν ἐκδεδωκυῖα σεμνή, ἐν ἐρήμῳ ἀγνώριστος διέμεινας χρόνοις πέντε καὶ τριάκοντα, γυμνὴ καὶ ἄστεγος, ὅθεν σὺν ἀΰλοις ἀγγέλοις, καὶ ταῖς τῶν παρθένων χορείαις νῦν ἐν οὐρανοῖς συγκατεσκήνωσας.



Ω τῆς σῆς, ὁσία, πρὸς Χριστόν, μῆτερ Θεοκτίστη, ἀγάπης, ὢ τοῦ σοῦ ἔρωτος, ὢ τοῦ τῆς καρδίας σου φίλτρου πανένδοξε. Ἀληθῶς ἐπληρώθη νῦν, ἐν σοὶ τοῦ Κυρίου λόγος, ὅν περ ἔφησε, πῦρ εἰς γῆν ἦλθον βαλεῖν. Τοῦτο σὴν ψυχὴν διαφλέξαν ἔπεισε προθύμῳ καρδίᾳ κόσμου παριδεῖν τὴν ματαιότητα.

Λύτρωσαι πρεσβείαις σου σεπταῖς, μῆτερ Θεοκτίστη, τοὺς πόθῳ ἐπιτελοῦντας τὴν σὴν μνήμην τὴν ἀοίδιμον, ἀπὸ παντοίων δεινῶν καὶ τυχεῖν καταξίωσον τῆς ἄνω μερίδος, ἔνθα ἡ ἀνέκφραστος χαρὰ ὑπάρχει σαφῶς, πάντων τε δικαίων τὰ πλήθη καὶ τῶν σωζομένων χορεῖαι, ὅπως τὸν Σωτῆρα μεγαλύνωμεν.

Ἕτερα προσόμοια: «***Ποίοις εὐφημιῶν στέμμασιν***»

Ποίοις οἱ εὐτελεῖς ᾄσμασιν, ἐπαινέσωμεν τὴν Θεοκτίστην, τὴν σαρκὶ ἀσάρκως βιώσασαν, πόνοις τε πολλοῖς διαπρέψασαν; Ἔρημον γὰρ μόνη κατῴκει, γυμνὴ οὖσά τε τὸ σῶμα καὶ ἄστεγος. Τὸ κρύος καὶ τὸν καύσωνα ἐνέγκασα ὑπ᾽ οὐδενὸς ὁρωμένη, μόνῳ δὲ τῷ κτίστῃ συνοῦσα τῷ πνεύματι, ὃν ἐπόθησεν ἐκ παιδὸς καὶ θερμῶς αὐτῷ ἠκολούθησεν.

Ποίοις μελῳδικοῖς ῥήμασιν, ἐπαινέσωμεν νῦν τὴν ὁσίαν; Ἥν περ ὁ δεσπότης ἐδόξασε δόξῃ ἀπορρήτῳ ἐν οὐρανοῖς; Οἵά περ παρθένον σὺν παρθένοις καὶ πᾶσι τοῖς πρωτοτόκοις συνηρίθμησε καὶ εἶναι σὺν ἀγγέλοις κατηξίωσε· μεθ᾽ ὧν δυσώπει ἀπαύστως τοῦ εὑρεῖν ἡμᾶς ἱλασμόν, παρὰ Χριστοῦ τοῦ Θεοῦ, τοῦ ἔχοντος τὸ μέγα ἔλεος.

Ποίοις, οἱ ῥυπαροί, χείλεσιν ἀσπασώμεθα ὁσία Μῆτερ, σοῦ τὴν θείαν κάραν καὶ πάντιμον, ἥν περ ὁ Χριστὸς ἐστεφάνωσε, στέφει ἀκηράτῳ τῶν παρθένων; Διόπερ καὶ προσκυνοῦντες ταύτην σήμερον, ἀπαύστως δεόμεθα, ἱκέτευε ὑπὲρ ἡμῶν Θεοκτίστη, τῶν τελούντων πόθῳ τὴν μνήμην σου, ὅπως λάβωμεν ἄφεσιν παρὰ Χριστοῦ καὶ μέγα ἔλεος. *(Δίς)*

***Δόξα. Ἦχος δ΄.***

Τίς ἀξίως ὑμνήσει, Θεοκτίστη ἀοίδιμε, σοῦ τὴν ὑπὲρ ἄνθρωπον ἄσκησιν; Τίς τὸ φίλτρον τὸ πρὸς τὸν Δεσπότην; Δι᾽ οὗ πάντα πόνον προθύμως ὑπέφερες, ὑπὲρ πάντας τὴν σάρκα νεκρώσασα· μόνῳ τῷ πνεύματι ἔζης ὡς ἀληθῶς. Ἄγγελοι τὴν καρτερίαν σου ἐθαύμασαν, δαίμονες ἔφριξαν, ὅσιοι καὶ δίκαιοι σὺν παρθένοις ἠγάσθησαν καὶ ἄνθρωποι ἐν τέλει εὑρόν-

www.tezaurliturgic.ro



τες ἐξέστησαν, ἄνθρωπον μὲν οὖσαν τῇ μορφῇ, σκιὰν δὲ τῷ πράγματι. Ὢ τοῦ θαύματος! πῶς φύσις ἀσθενὴς ἑαυτὴν ἀγνοήσασα, ὑπὲρ φύσιν ἠγωνίσθη· πῶς ἐν ὕλῃ τὸν ἄϋλον κατέβαλεν! Ὡς θαυμαστά σου τὰ ἔργα, Φιλάνθρωπε Κύριε, τοῦ κρατύναντος ταύτην, δόξα Σοι.

***Καὶ νῦν.***

Θεοτοκίον, τὸ προεόρτιον: ***Μετὰ τὸ τεχθῆναί σε·*** ὁ αὐτός.

Εἴσοδος. «***Φῶς ἱλαρόν***». Προκείμενον τῆς ἡμέρας.

Καὶ τὰ ἀναγνώσματα:

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

***Γ΄, 1.***

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία, σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

***Ε΄, 15.***

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν, τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην· καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν· συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν· καὶ ὡς ἀπὸ εὐκύκλου τόξου, τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται· καὶ ἐκ πετροβόλου, θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης· ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως· ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαίλαψ ἐκλικμήσει αὐτούς· καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς, καὶ σύνετε· μάθετε, δικασταί, περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν. Ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.



Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

***Δ΄. 7.***

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη, Ἡρπάγη· μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον· Ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ, Στιχηρὰ Ἰδιόμελα.

***Ἦχος α΄.***

Τὰ κατ' ἐχθρῶν σου στερρὰ ἀγωνίσματα τίς διηγήσεται, ἔνδοξε ἁγία Θεοκτίστη; Τὰς προσβολὰς τοῦ πονηροῦ, ἃς ὑπέμεινας, τὴν ἐν ἐρήμῳ μόνωσιν, τῆς σαρκὸς τὴν γυμνότητα, τῶν θερμίων καὶ λαχάνων τὴν μετάληψιν, δι' ὧν τὸ πάχος τῆς σαρκὸς εἰς τέλος ἐλέπτυνας καὶ τὴν τῆς ψυχῆς ὡραιότητα φαιδροτέραν ἀπειργάσω. Διόπερ νῦν ἐν οὐρανοῖς τῶν σῶν πόνων τὰ γέρα δρεπομένη, πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

***Ἦχος β΄.***

Ἐκ βρέφους τῷ Χριστῷ νυμφευθεῖσα, Θεοκτίστη ἀοίδιμε, καὶ ἄρασα ἐπ' ὤμων τὸν σταυρὸν ἔδραμες ὀπίσω αὐτοῦ ὥσπερ διψῶσα ἔλαφος. Καὶ μὴ φέρων ὁ δόλιος σοῦ τὸ πρόθυμον,

ΒΑΣΙΛΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΚΤΗΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑ...

www.tezaurliturgic.ro



αἰχμάλωτον γενέσθαι κατεσκεύασε, λύειν σου τὸν πόνον πειρώμενος· ὅμως κατῃσχύνθη ὁ βελίαρ· τῇ γὰρ τοῦ Θεοῦ προνοίᾳ σὺ ἐρρύσθης, καὶ ἐν πόνοις τοῦτον κατεβάλου. Διὸ ἐνίσχυσον καὶ ἡμᾶς ταῖς πρεσβείαις σου ρυσθῆναι τῶν παγίδων αὐτοῦ καὶ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

***Ἦχος γ'.***

Ἔλαφος καθάπερ Δαβιτική, ἔδραμες ἐφ' ὕδωρ τὸ ζωηρόν, καὶ πιοῦσα, μῆτερ, μᾶλλον ἀνεφλέχθης τῷ ἔρωτι. Διόπερ ἐν ἐρήμοις ηὐλίζου, τοῦ Νυμφίου Χριστοῦ τὸ κάλλος ἐπιποθοῦσα ὁρᾶν, δι' ὃν ἠρνήσω τὸν κόσμον. Ἀνθ' ὧν νῦν ἐν οὐρανοῖς καθαρώτερον ἐντρυφῶσα, μνημόνευε καὶ ἡμῶν, Θεοκτίστη ἀοίδιμε.

***Δόξα. ἦχος πλ. α'.***

Δεῦτε φιλεόρτων τὸ σύστημα, δεῦτε καὶ κατίδωμεν θέαμα, ἄνθρωπον ἀγγέλοις ἐφάμιλλον. Σήμερον γὰρ εἰς οὐρανοὺς ἀνῆλθε τὴν γῆν λιποῦσα Θεοκτίστη ἡ ἀοίδιμος, ἣν ὁσίων δῆμοι καὶ παρθένων χορεῖαι εὐφροσύνως ὑπεδέξαντο καὶ ὁ βασιλεὺς τῆς δόξης στέφει ἀθανάτῳ κατέστεψεν, ὡς παρθένον περικαλλῆ. Ταύτην καὶ ἡμεῖς ἀνυμνοῦντες τῷ Χριστῷ ἐκβοήσωμεν. Πανάγαθε Κύριε, ἀξίωσον τοὺς ταπεινοὺς ἡμᾶς τῆς παρὰ Σοὶ βασιλείας, εὐχαῖς τῆς ὁσίας σου, ὡς φιλάνθρωπος.

***Καὶ νῦν.*** ὁ αὐτός· Προεόρτιον: ***Ἐπέλαμψεν ἡμέρα.***

ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ, Στιχηρὰ προσόμοια:

***Ἦχος πλ. α'. «Χαίροις ἀσκητικῶν»***

Χαίροις μοναζουσῶν καλλονή, καὶ τῶν παρθένων, Θεοκτίστη, ἀγλάϊσμα, καὶ πάντων τῶν σὲ τιμώντων, χαῖρε προστάτις θερμή. Τῶν ἀγγέλων, χαῖρε, ἡ ἐφάμιλλος. Μαρτύρων, ὁσίων τε, ἰσοστάσιος πέλουσα. Χαῖρε τοῦ Παύλου τοῦ Θηβαίου ἡ σύσκηνος, ὡς βιώσασα κατ' αὐτὸν παναοίδιμε. Χαίροις ἡ συμπατήσασα, σατᾶν τὸν ἀρχέκακον. Οὗ καὶ ἡμᾶς ἐκδυσώπει, μῆτερ, ρυσθῆναι, τὸν Κύριον, αὐτὸν ἀνυμνοῦντας, τὸν παρέχοντα τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Στίχος: Ὑπομένων ὑπέμεινα τὸν Κύριον.

Χαίροις περιστερὰ λογική, ὦ Θεοκτίστη, καὶ τρυγὼν φιλοέρημος. Ἡ χεῖρας ἀποφυγοῦσα, τῶν πονηρῶν ἰξευτῶν, καὶ πρὸς θεῖον ὕψος ἐκπετάσασα συνεῖναι τῷ κτίστῃ σου, ὃν



ἐκθύμως ἠγάπησας. Οὗπερ τῷ πόθῳ, ἐκκαιομένη ὡς ἔλαφος, τούτου ὄπισθεν ἠκολούθεις ταχύτατα. Πάντα ὑφ' ἓν τὰ πρόσκαιρα, σεμνὴ καταλείψασα, εἴπέρ τις ἄλλη ὡς ὄντως σαρκὸς πατήσασα ἡδονάς. Καὶ νῦν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

Στίχος. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου.

Ὄντως, ἕως σκηνῆς θαυμαστῆς, ἕως τοῦ οἴκου τοῦ Θεοῦ εἰσελήλυθας, ἀοίδιμε Θεοκτίστη, ἀγαλλομένῃ ψυχῇ, ἔνθα ἦχος, μῆτερ, ἑορτάζοντος. Τερπνῆς ἐπακούουσα, καὶ γλυκείας ὑμνήσεως καὶ τῆς ἀφράστου θυμηδίας καὶ τέρψεως. Ἐν μεθέξει νῦν μακαρίᾳ γεγένησαι, ἧς περ ἐφιεμένη πρίν, τὴν σάρκα ἐνέκρωσας. Ἧς καὶ ἐπέτυχες θείᾳ δικαιοσύνῃ, πανόλβιε. Χριστὸν δυσωποῦσα, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

***Δόξα. ἦχος πλ. β'.***

Μῆτερ ὁσία, εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος τῶν κατορθωμάτων σου, διὸ ἐν τοῖς οὐρανοῖς εὗρες μισθὸν τῶν καμάτων σου. Τῶν δαιμόνων ὤλεσας τὰς φάλαγγας, τῶν ἀγγέλων ἔφθασας τὰ τάγματα, ὧν τὸν βίον ἀμέμπτως ἐζήλωσας· παρρησίαν ἔχουσα πρὸς Χριστὸν τὸν Θεόν, εἰρήνην αἴτησαι ταῖς ψυχαῖς ἡμῶν.

***Καὶ νῦν.*** προεόρτιον: ***Σήμερον τὰ πλήθη τῶν πιστῶν.***

Ἀπολυτίκιον

***Ἦχος γ', «Θείας πίστεως»***

Χάριν εὕρατο ἡ Ἰκαρία Σοῦ τὰ λείψανα ἐγκολπουμένη, Θεοκτίστη ὁσία ἀοίδιμε. Χάριν γὰρ πᾶσι παρέχεις τοῖς χρήζουσι καὶ βραβεύεις τοὺς τελοῦντας τὴν μνήμην σου. Μὴ οὖν παύσῃ ὑπὲρ ἡμῶν χεῖρας αἴρουσα ἐν ταῖς πρὸς Κύριον πρεσβείαις σου.

***Δόξα.*** τὸ αὐτό. ***Καὶ νῦν. Θεοτόκε Παρθένε.***

**ΚΑΙ ΑΠΟΛΥΣΙΣ** [1]

[1] Ἐν ταῖς Μοναῖς ἐπὰν κριθῇ εὔλογον ἀκολουθεῖ ἡ εὐλόγησις τῶν ἄρτων, ὡς συνήθως. Καὶ εὐθὺς τίθεται ἀνάγνωσις εἰς τὸν βίον τῆς ἁγίας, μετὰ τὴν ἐκφώνησιν τοῦ ἱερέως: ***Εὐλογητὸς ὁ Θεὸς ἡμῶν*** κτλ. Μετὰ δὲ τὸ τελειωθῆναι τὴν ἀνάγνωσιν εὐθὺς ὁ ἐξάψαλμος. Εἶτα: ***Θεὸς κύριος.*** Τὸ Ἀπολυτίκιον. ***Δόξα.*** τὸ αὐτό. ***Καὶ νῦν: Σὲ τὴν μεσιτεύσασαν.***

ΠΑΛΛΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

www.tezaurliturgic.ro



ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄. στιχ. κάθισμα.

**Ἦχος α΄. «Τὸν τάφον σου σωτὴρ»**

Τοῦ κόσμου τὰ τερπνὰ ἐκ καρδίας, ὁσία, λιποῦσα, τῷ Χριστῷ ἐκ ψυχῆς ἐκολλήθης, τὴν ἔρημον δ᾽ ὡς ἔνοικον πόλιν, μῆτερ, κατέλαβες. Καὶ σχολάζουσα ταῖς ὑψηλαῖς θεωρίαις, ὤφθης ἄγγελος, μετὰ σαρκός, Θεοκτίστη, διὸ σὲ γεραίρομεν.

**Δόξα καὶ νῦν.**

Μαρία τὸ σεπτόν, τοῦ δεσπότου δοχεῖον, ἀνάστησον ἡμᾶς πεπτωκότας εἰς χάος δεινῆς ἀπογνώσεως καὶ πταισμάτων καὶ θλίψεων. Σὺ γὰρ πέφυκας ἁμαρτωλῶν σωτηρία καὶ βοήθεια καὶ κραταιὰ προστασία, καὶ σώζεις τοὺς δούλους σου.

Εἰς τὴν β΄. στιχ. κάθισμα.

**Ἦχος πλ. δ΄. «Τὴν σοφίαν καὶ λόγον»**

Ἐκ παιδὸς ἐπεδόθης δῶρον Θεῷ, Θεοκτίστη ὁσία, ὑπὸ τῶν σῶν, δουλεύουσα, πυκτεύουσα ἐν νηστείαις καὶ δάκρυσι, καὶ τὴν τῆς παρθενίας λαμπάδα φαιδρύνουσα. Ὅθεν τοῖς βαρβάροις σὲ φθονήσας παρέσχεν ὁ δόλιος αἰχμάλωτον, ἀλλ᾽ ᾐσχύνθη ὁ μάταιος, τοῦ Θεοῦ σὲ λυτρώσαντος. Πρέσβευε νῦν, μῆτερ, ἀεὶ τῷ Χριστῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

**Δόξα.** τὸ αὐτό. **καὶ νῦν.** Θεοτοκίον

Ἀθανάτους λειμῶνας περινοστεῖν, οὐρανίους θαλάμους περιπολεῖν, Δέσποινα παράσχου μοι, ὁ Θεοῦ θεῖος θάλαμος, ἐπιτυχεῖν τοῦ θείου νυμφῶνος ἀξίωσον, καὶ μετασχεῖν τῆς δόξης Χριστοῦ καὶ πλησθῆναί με, τῆς ἀπορρεούσης γλυκυτάτης ἀκτῖνος καὶ θείας ἐλλάμψεως τῆς αὐτοῦ ὡραιότητος, ὅπως ἀξίως βοήσω σοι· Θεόστεπτε παρθένε ἁγνή, τῶν πταισμάτων ἄφεσίν μοι δώρησαι, διὰ τοῦ σοῦ υἱοῦ καὶ Θεοῦ, ὃν ἀπαύστως ἱκέτευε.

Μετὰ τὸν **Πολυέλεον,** κάθισμα.

**Ἦχος δ΄. «Ἐπεφάνης σήμερον»**

Τοῦ ἐχθροῦ τὰ θήρατρα, ἀποφυγοῦσα, πρὸς ζωὴν αἰώνιον ὄντως πεπόρευσαι σεμνὴ ὑπὲρ ἡμῶν ἱκετεύουσα, ὦ Θεοκτίστη, τῶν πίστει τιμώντων σε.



**Δόξα.** τὸ αὐτό. **καὶ νῦν.** Θεοτοκίον

Τὰς ἀχράντους χεῖράς σου, Παρθενομῆτορ, ἆρον πρὸς τὸν Σὸν υἱὸν ἐξευμενίζουσα αὐτὸν ὑπὲρ ἡμῶν τῶν τιμώντων σε, ὡς Θεοτόκον, πανάμωμε Δέσποινα.

**Οἱ ἀναβαθμοί,** τὸ πρῶτον ἀντίφωνον τοῦ τετάρτου ἤχου. Προκείμενον ἦχος δ΄. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τῆς ὁσίας αὐτοῦ. στίχ. Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ περὶ πάντων. **Πᾶσα πνοή. Εὐαγγέλιον** ὁσιακόν.

Μετὰ τὸν **Ν΄ Δόξα.** Ταῖς τῆς σῆς ὁσίας.

**Καὶ νῦν.** Ταῖς τῆς Θεοτόκου.

Εἶτα τὸ παρὸν ἰδιόμελον:

**Ἦχος β΄.**

Ὄλβον ἄσυλον ἐπιποθοῦσα, βίον ἔνθεον ἐπολιτεύσω, τὰ τῶν παθῶν ὑπεκκαύματα σβέσασα, τὴν τῶν δαιμόνων ὀφρὺν κατεπάτησας, καὶ νῦν ἐν οὐρανοῖς μετ᾽ ἀγγέλων χορεύουσα, μέμνησο τῶν τιμώντων σου, Θεοκτίστη, τὴν κοίμησιν.

**Σῶσον, ὁ Θεός, τὸν λαόν σου,** καὶ καθεξῆς: οἱ κανόνες τῆς Θεοτόκου μετὰ τῶν εἱρμῶν εἰς στ΄, καὶ τῆς ἁγίας εἰς η΄.

Ὠδὴ Α΄.

Ὡς ἐν ἠπείρῳ πεζεύσας ὁ Ἰσραήλ, ἐν ἀβύσσῳ ἴχνεσι τὸν διώκτην Φαραὼ καθορῶν ποντούμενον, Θεῷ ἐπινίκιον ᾠδήν, ἐβόα, ᾄσωμεν.

Δέξαι τὴν δέησιν ταύτην ἐκ ρυπαρῶν χειλέων καὶ στόματος ἀναξίου, τολμηρῶς εὐφημεῖν τολμήσαντος καὶ φῶς μετανοίας, ἀγαθή, θεῖόν μοι δώρησαι.

Ὄμβρους δακρύων μοι δίδου σαῖς προσευχαῖς, Θεομῆτορ ἄχραντε, ὅπως κλαύσωμαι θερμῶς, ἅπερ ἐπλημμέλησα ἐν γῇ καὶ ρυσθῶ ἀναμενούσης με κολάσεως.

Στέναξον, κλαῦσον, ψυχή μου καὶ σεαυτήν, ἐκ τοὐντεῦθεν πένθησον, ἐκβοῶσα τῷ Χριστῷ. Σῆς μητρός, Οἰκτίρμον, ταῖς λιταῖς τὸν ὑπεύθυνον φρικτῆς ρῦσαι γεέννης με.

Μή μου τὸν θρῆνον ἀπώσῃ ἢ τὴν πηγὴν τοῦ ἐλέους τέξασα, ἀλλ᾽ εὐσπλάγχνως ἀγαθή, τῷ σῷ ἐλέῳ ὄμματι ψυχῆς, Θεοτόκε, τῆς ἐμῆς πάθη θεράπευσον.

www.tezaurliturgic.ro



Τῆς ἁγίας ὅμοιον

Παρισταμένη ὁσία ἐν οὐρανοῖς τῷ τὰ φῶτα γέμοντι τῆς ψυχῆς μου τὴν ἀχλύν, σαῖς εὐχαῖς ἀπέλασον σεμνή, ὅπως ᾄσω μετ' ᾠδῆς τὴν θείαν μνήμην σου.

Κατακρατήσας σου ἔρως ὁ θεϊκός, Θεοκτίστη, ἔπεισε παριδεῖν ὁλοτελῶς τῆς σαρκὸς τὸ χαῦνον, καὶ βιοῦν ἰσαγγέλως ἐν τῇ γῇ σε κατηνάγκασεν.

Ἔτι νεάζουσα, μῆτερ, εἵλου σοφῶς τὸ κατ' ἴχνος ἕπεσθαι τοῦ νυμφίου σου, διὸ σεαυτὴν κατέμιξας χορῷ τῶν παρθένων, ἀρεταῖς ἐνδιαπρέπουσα.

Θεοτοκίον

Τοῦ μὲν θανάτου τὴν ὥραν διηνεκῶς ἐννοῶ, πανάχραντε, καὶ τὸ βῆμα τὸ φρικτόν· συνηθείᾳ ὅμως δὲ κακῶν δελεάζομαι δεινῶς, διὸ βοήθει μοι.

Ἕτερος κανὼν τῆς ἁγίας

Ὠδὴ Β'. «*Ἀνοίξω τὸ στόμα μου*»

Τριάδος τὴν ἔλλαμψιν, εἰσδεδεγμένη, πανόλβιε, καὶ φῶς χρηματίζουσα, ταῖς φωτοβόλοις σου, νῦν καταύγασον πρεσβείαις Θεοκτίστη, νοός μου τὴν ζόφωσιν ὅπως ὑμνήσω σε.

Ἐκ βρέφους τῷ κτίστῃ σου, δῶρον καθάπερ, προσήνεξαι καὶ σχῆμα τὸ ἅγιον, μῆτερ, ἀνέλαβες, ἀγωνίσμασιν ἐμπρέπουσα γενναίοις, ἐχθρῷ προσπαλαίουσα τῷ πολεμήτορι.

Νηστείαις καὶ δάκρυσι καὶ ἀγρυπνίαις, σχολάζουσα, ποθῶν ἐναπέσβεσας τὴν φλόγα πάνσεμνε· καὶ ἀνῆπτό σοι, πυρσὸς ἐν τῇ καρδίᾳ, ὁ πόθος τοῦ κτίστου σου, μῆτερ ἀοίδιμε.

Θεοτοκίον

Ἐν σοὶ τὰς ἐλπίδας μου, τῆς σωτηρίας ἀνέθηκα καὶ πρὸς σὲ τὴν εὔσπλαγχνον πίστει κατέφυγον, μὴ παρίδῃς με, ἐλπὶς ἀπηλπισμένων, ἀλλ' ὡς πολυδύναμος πρόφθασον, σῶσόν με.

Καταβασία. *Ἀνοίξω τὸ στόμα μου*

Ὠδὴ Γ'.

Οὐκ ἔστιν ἅγιος ὡς σύ, Κύριε, ὁ Θεός μου, ὁ ὑψώσας τὸ κέρας τῶν πιστῶν σου, ἀγαθέ, καὶ στερεώσας ἡμᾶς ἐν τῇ πέτρᾳ τῆς ὁμολογίας σου.



Στενάζω νῦν ὀδυνηρῶς καὶ πικρῶς ὀλολύζω καὶ θρηνῶ σκυθρωπάζων καὶ πενθῶ περιπαθῶς. Οὐ δύναμαι γὰρ Σέ, Θεοτόκε, ὁρᾶν τὴν ἐμὴν παράκλησιν.

Κυρίως Κύριον σαρκί, καὶ Θεὸν παναληθῶς συλλαβοῦσα ἐν γαστρί, Κυριοτόκος, Πάναγνε, ἀνεδείχθης, διό Σε μακαρίζομεν.

Οὐκ ἔχω πράξεις ἀγαθάς, οὐ κατάνυξιν ὅλως, οὐδὲ δάκρυα, Λόγε, σκοτισθεὶς τὴν διάνοιαν, ἀλλὰ λιταῖς Σῆς μητρὸς μή με κρίνῃς τὸν αὐτοκατάκριτον.

Ἁγία Δέσποινα ἐμέ, τὸν ὑπεύθυνον, πάσης ἐξελοῦ κατακρίσεως, παρρησίαν πρὸς Θεόν, ὡς ἔχουσα, μητρικήν· καὶ τῷ νυμφῶνι τούτου με κατάταξον.

Τῆς Ἁγίας ὅμοιον

Τὴν πρὸς τὰ κρείττω σου ῥοπήν, Θεοκτίστη ὁσία, ὁ ἐχθρὸς μὴ ἐνέγκας, αἰχμάλωτον καθιστᾷ βαρβάροις ὁ λυμεών, ἀλλ' εἰς μάτην ἐφρυάξατο.

Ἐχθρῶν ῥυσθεῖσα ὁρατῶν, τοῦ Χριστοῦ τῇ ἰσχύϊ, ἀοράτοις ἐνήρξω προσπαλαίειν ἀνδρικῶς, καὶ τούτων τὰς προσβολὰς τὰς πυρφόρους δάκρυσι κατέσβεσας.

Ὢ θαῦμα, Μῆτερ, τὸ ἐν σοί, πῶς διήγαγες μόνη ἐν ἐρήμῳ, μηδ' ὅλως πτοηθεῖσα τοὺς ἐχθρούς, μαχαίρᾳ δ' ὑπομονῆς αἰθιόπων κεφαλὰς διέκοψας.

Θεοτοκίον

Δακρύων δός μοι δαψιλῶς προχοάς, Θεοτόκε, καὶ ἀξίωσον βρέχειν, ἐν ἡμέρᾳ καὶ νυκτί, τὴν κλίνην μου καὶ στρωμνήν, ὅπως τύχω διὰ σοῦ ἀφέσεως.

Ἕτερα τῆς Ἁγίας. «*Τοὺς σοὺς ὑμνολόγους*»

Ὀκτὼ καὶ δέκα ἐτῶν, γεγονυῖα Θεοκτίστη, κατιδεῖν ἐξέδραμες ὁμαίμονα τὴν σὴν καὶ κατασπάσασθαι καὶ παραυτίκα βάρβαροι, σὺν ἄλλοις ἦράν σε αἰχμάλωτον.

Ἐλθόντες βάρβαροι ἐν Πάρῳ, λιμένι προσώρμισαν αὐτῆς καὶ τῶν νηῶν ἐξέβησαν, τὰ σκῦλα μερισάμενοι. Σὺ δὲ λαθραίως πέφευγας καὶ πρὸς τὸ δάσος προσεχώρησας.

www.tezaurliturgic.ro



Ἀνεύρετος ἔκτοτε τοῖς πᾶσιν ὑπῆρχες, ὁσία, καὶ Θεῷ μόνῳ ἐνατενίζουσα, διέλαθες τὰ ἔνεδρα καὶ ἁρπάγας τὰς τοῦ ὄφεως, ὥσπερ στρουθίον ἀοίδιμε.

Θεοτοκίον

Νοός μου τὸ σκότος, Θεοτόκε, φωτὶ τῷ θεϊκῷ ὡς ἀγαθὴ ἐκδυσωπῶ διάλυσον καὶ μετανοίας δάκρυσι, ρυσθῆναί με ἀξίωσον ὡς συμπαθὴς καὶ πολυέλεος.

Καταβασία. ***Τοὺς σοὺς ὑμνολόγους.*** Αἴτησις.

Κάθισμα. ***ἦχος δ΄. «Κατεπλάγη Ἰωσὴφ»***

Τὴν στενὴν περιχαρῶς, μῆτερ, ὁδεύσασα ὁδόν, πρὸς πλάτος ἤχθης οὐρανοῦ χοροβατεῖν διηνεκῶς. Καὶ σὺν φρονίμοις παρθένοις ἔνδον νυμφῶνος εἰσῆλθες νοητῶς, μετὰ λαμπάδος φαιδρᾶς, τοῦ κάλλους ἐντρυφᾶν τοῦ νυμφίου σου, ὥσπερ παρθένος ἄμωμος, Θεοκτίστη πανένδοξε. Διὸ δυσώπει ἀκαταπαύστως ὑπὲρ ἡμῶν τὸν φιλάνθρωπον.

***Δόξα.*** τὸ αὐτό. ***Καὶ νῦν.*** Θεοτοκίον: ***Κατεπλάγησαν Ἁγνή.***

Ὠδὴ Δ΄.

Χριστός μου δύναμις, Θεὸς καὶ Κύριος, ἡ σεπτὴ ἐκκλησία θεοπρεπῶς μέλπει ἀνακράζουσα, ἐκ διανοίας καθαρᾶς, ἐν Κυρίῳ ἑορτάζουσα.

Ροήν μοι δώρησαι δακρύων, Δέσποινα, ὅπως πλύνω τὸν ρύπον τὸν τῆς ψυχῆς, καὶ εὕρω ὁ ἄθλιος, ὅπερ ἀπώλεσα κάλλος, συμβουλίᾳ τῇ τοῦ ὄφεως.

Ἐμὲ τὸν ἄσωτον, ἐμὲ τὸν δείλαιον, τὸν πολλά σοι ἀφρόνως, καὶ ἀναιδῶς πταίσαντα, πανάμωμε, κατοικτείρησον, σῶσον, καὶ γεέννης ἐλευθέρωσον.

Θεέ μου εὔσπλαγχνε, Χριστὲ φιλάνθρωπε, δωρητὰ τοῦ ἐλέους νῦν ἐπ' ἐμοί, ῥανόν Σου τὸ ἔλεος· ἐκδυσωπεῖ Σε ἡ ἐλπὶς καὶ προστάτις μου καὶ μήτηρ Σου.

Ἀνόμοις πράξεσιν, οὐκ ἔστιν ἄνθρωπος ἐπὶ γῆς παναθλίως βεβιωκώς, ὃν οὐχ ὑπερβέβηκα, Σὺ δὲ πανάχραντε ἁγνή, σωτηρίας με ἀξίωσον.

Χειρῶν ἐξέφυγες βαρβάρων πάνσεμνε, τοῦ Θεοῦ τῇ προνοίᾳ, ὥσπερ τρυγών, ἔρημον κατέλαβες, μεμονωμένην τὴν ζωὴν Θεοκτίστη διανύσασα.



Τίς οὐ θαυμάζει σου; Τίς οὐκ ἐπίσταται, Θεοκτίστη ὁσία, σὴν βιωτήν; Ἥνπερ ὥσπερ ἄσαρκος ἐπολιτεύσω ἐν τῇ γῇ διὰ πόθον τοῦ νυμφίου σου.

Γυμνὴ καὶ ἄστεγος χειμῶνος καὶ θέρους, οὐδ' ὁπωσοῦν θεασαμένη ἄνθρωπον ἐν πέντε χρόνοις ἀληθῶς Θεοκτίστη καὶ τριάκοντα.

Θεοτοκίον

Βαβαί, τί γένωμαι; Πῶς διαφεύξωμαι τὸν φλογμὸν τῆς γεέννης; Οἴμοι λοιπόν, Δέσποινα πανάχραντε, ἱλέωσόν μοι τὸν Κριτὴν πρὸ τοῦ τέλους ταῖς πρεσβείαις σου.

Ἕτερα τῆς Ἁγίας. ***«Ὁ καθήμενος ἐν δόξῃ»***

Ἐν ἐρήμῳ μονωτάτη ἀσκεπής τε καὶ ὕπαιθρος, μῆτερ, ἐκαρτέρεις καύσωνι καὶ κρύει παλαίουσα καὶ τῇ λοιπῇ κακουχίᾳ τῇ τοῦ σώματος, καὶ κραυγάζουσα, Δόξα Χριστὲ τῇ δυνάμει σου.

Τῇ πικρίᾳ τῶν θερμίων, τὴν ψυχήν σου γλυκαίνουσα, μῆτερ Θεοκτίστη, καὶ λαχάνοις ταύτην στηρίζουσα, τῷ σῷ νυμφίῳ, ὡραία καὶ ἐπίχαρις, ὤφθης, κράζουσα, Δόξα Χριστὲ τῇ δυνάμει σου.

Ὢ τῆς σῆς πρὸς τὸν Δεσπότην, ἀκλινοῦς ἀγαπήσεως, μῆτερ Θεοκτίστη, πῶς ἀνεπιστρόφως διώδευσας, τρίβον στενὴν καὶ τραχεῖαν ἀνακράζουσα, Δόξα Χριστὲ τῇ δυνάμει σου.

Θεοτοκίον

Παναγία Θεοτόκε τῶν πιστῶν ἡ βοήθεια, βοηθὸς γενοῦ μοι ἐν τῷ τὴν ψυχήν μου χωρίζεσθαι ἐκ τοῦ δυστήνου σαρκίου, καὶ καταίσχυνον τοὺς ζητοῦντάς με δαίμονας τότε χειρώσασθαι.

Καταβασία. ***Τὴν ἀνεξιχνίαστον θείαν βουλὴν***

Ὠδὴ Ε΄.

Τῷ θείῳ φέγγει σου, ἀγαθέ, τὰς τῶν ὀρθριζόντων σοι ψυχὰς πόθῳ καταύγασον δέομαι σὲ εἰδέναι, Λόγε Θεοῦ, τὸν ὄντως Θεόν, ἐκ ζόφου τῶν πταισμάτων ἀνακαλούμενον.

Ἁγνὴ καὶ σώματι καὶ ψυχῇ, πάναγνε φανεῖσα, τὴν ἐμὴν ψυχὴν λαγνεύουσαν, κάθαρον, ποίησον ἁγνεύειν, καὶ καθοδήγησον τελεῖν με τοῦ Κυρίου τὸ θεῖον θέλημα.

www.tezaurliturgic.ro



Σὲ μόνην ἔχω καταφυγήν, καὶ πρὸς τὸν Θεὸν καταλλαγήν, ὁ ἐν πολλοῖς πλημμελήμμασιν ἅπαν τὸ τοῦ βίου ἀνύσας στάδιον, διό με Θεοτόκε σὺ κατοικτείρησον.

Λύομαι φόβῳ καὶ δειλιῶ, ὅταν τοῦ θανάτου τὴν φρικτὴν ὥραν ἐκείνην λογίσωμαι, καὶ τὴν τοῦ υἱοῦ σου κόρη θείαν ὑπάντησιν, ψῆφόν τε τὴν δικαίαν καὶ τὴν ἀπόφασιν.

Ἀπὸ καρδίας ὀδυνηρᾶς, καὶ συντετριμμένης ἐκ ψυχῆς προσφερομένην σοι δέησιν, δέξαι φιλευσπλάγχνως μῆτερ εὐσπλάγχνου Θεοῦ, καὶ σῶσον δωρεάν με τὸν ὄντως ἄσπλαγχνον.

Τῆς ἁγίας ὅμοιον

Γνωρίσαι θέλων πᾶσιν ἡμῖν σὲ ὡς θησαυρόν, ὁ πολυέλεος Κύριος, ἐν τῷ τέλει μῆτερ τῆς παροικίας σου εὑρεῖν σε κυνηγέτην σαφῶς διήγειρεν.

Ὡς οὖν κατεῖδεν ὁ θηρευτής, σὲ ἐν τῆς παρθένου τῷ ναῷ οἱά περ κρόκην ὑφάσματος, ἢ ἱστὸν ἀράχνης ἐν τῷ ῥιπίζεσθαι, προέβη διαγνῶναι ἐμφαντικώτερον.

Ἐν τῷ προβαίνειν δ' ἰδεῖν αὐτόν, αὖθις πρὸς αὐτὸν σὺ μῆτερ ἔφης, ὦ ἄνθρωπε, στῆθι δέομαί σου, μὴ πλησιάσῃς με, ῥίψον μοι ἔνδυμα καλυφθήσεσθαι.

Θεοτοκίον

Τῷ θείῳ φέγγει σου, ἀγαθή, τὴν ἐσκοτισμένην μου ψυχὴν ταῖς ἁμαρτίαις καταύγασον, φῶς γὰρ τὸ ἀνέσπερον σὺ γεγέννηκας παρθένος μετὰ τόκον μείνασα ἄφθορος.

Ἕτερα τῆς Ἁγίας. «***Ἐξέστη τὰ σύμπαντα***»

Τὸ τέλος ὡς ἤγγισε, μῆτερ, τῆς ἐκδημίας σου θέλων ὁ δεσπότης σὲ τοῖς πᾶσιν ἀποκαλύψαι καθάπερ πλοῦτον ἡμῖν, ἄφνω κυνηγέτην σε εὑρεῖν ἐν ναῷ ηὐδόκησε τῆς ἁγνῆς Θεομήτορος.

Ὡς εἶδεν ἐρχόμενος ἐν τῷ ναῷ ὁ ἄνθρωπος, χάριν προσκυνήσεως ὁσία, σὲ ὥσπερ κρόκην ἐν δεξιοῖς τοῦ ναοῦ, τρόμῳ τῇ ὁράσει συσχεθείς, φάσμα εἶναι ᾤετο καὶ τοῦ φεύγειν ἀπήρξατο.

Θηρεύων θηρεύματα, ὁ θηρευτὴς ἐθήρευσε, θήραν σε καθάπερ, Θεοκτίστη, καὶ τῇ τραπέζῃ τῆς διηγήσεως θέμενος ἐκάλεσεν ἡμᾶς, μῆτερ, πρὸς ἑστίασιν δαψιλῆ τῶν ἀγώνων σου.



Θεοτοκίον

Νοός μου τὴν σκότωσιν θεράπευσον πανάμωμε, ἴασαι τὰ πάθη τῆς ψυχῆς μου, τῆς ῥαθυμίας γνόφον ἀπέλασον, ὅπως εὐχαρίστως ἀνυμνῶ πόθῳ, καὶ γεραίρω σε τὴν θερμήν μου ἀντίληψιν.

(Καταβασία. ***Ἐξέστη τὰ σύμπαντα***)

Ὠδὴ ΣΤ΄.

Τοῦ βίου τὴν θάλασσαν ὑψουμένην καθορῶν, τῶν πειρασμῶν τῷ κλύδωνι, τῷ εὐδίῳ λιμένι σου προσδραμὼν βοῶ σοι, ἀνάγαγε ἐκ φθορᾶς τὴν ζωήν μου, πολυέλεε.

Μὴ κῦμα καλύψῃ με, μὴ ποντίσῃ καταιγίς, μὴ ἀφανίσῃ πέλαγος, μὴ καταδύσῃ θάλασσα, καὶ βυθὸς πικρᾶς ἀπογνώσεως, ἁλμυρᾶς ἀπωλείας κόρη πάναγνε.

Ἰλύος με λύτρωσαι καὶ βορβόρου ζοφεροῦ τῶν σαρκικῶν ὀρέξεων, καὶ ἡδονῶν, παρθένε, τῶν ἐμπαθῶν μακρὰν ἐξορίζουσα τοὺς αἰσχροὺς λογισμοὺς τῆς διανοίας μου.

Ψυχὴν κατερρύπωσα παραλόγοις ἡδοναῖς, σπιλούμενος ὁ ἄθλιος, καὶ μολύνων τὸ σῶμα, ἔργοις αἰσχροῖς, ἀλλ' ὦ πολυεύσπλαγχνε, μὴ παρίδῃς με ὅλον κινδυνεύοντα.

Ὁ πᾶσιν ἀχώρητος, ὁ ἀόρατος Θεός, ὁ ἀναφής, ὁ ἄναρχος ἀρχὴν λαβών, καὶ ὁρατὸς ἡμῖν, κόρη, γέγονε σὲ κοσμήσας ἀπείροις ἀξιώμασιν.

Τῆς ἁγίας ὅμοιον

Ἐξέστη καὶ ἔφριξεν, ὡς κατεῖδέ σε σεμνή, μορφὴν ἔχουσαν βροτοῦ ὁ θηρεύων, καὶ φάσμα εἶναι δοκῶν σκιὰν δὲ ἢ ἄνθρωπον, ὑπὲρ φύσιν γὰρ μῆτερ ἐνενέκρωσο.

Σαυτὴν ἐνσφραγίσασα τῷ σημείῳ τοῦ Σταυροῦ, τότε αὐτῷ ὡμίλησας ἐκζητήσασα, μῆτερ, προσενεγκεῖν αὐτὸν σοὶ τὸ ἄχραντον καὶ ἀθάνατον σῶμα τοῦ Κυρίου σου.

Πληρώσας ὁ ἄνθρωπος τὸ σὸν αἴτημα θερμῶς μεταλαβοῦσα, ἔφησας, Νῦν ἀπολύεις τὴν δούλην σου, ἀγαθέ, καὶ ταῦτα βοήσασα, ηὐχαρίστεις μεγάλως τῷ Δεσπότῃ σου.

Θεοτοκίον

Εἰς νοῦν τὸ κριτήριον, τὸ φρικτὸν ἀναπωλῶν, ἐξίσταμαι ὁ δείλαιος, οἴμοι ἐμοὶ δέσποινα ἀγαθή· πρὸ τέλους με οἴκτειρον καὶ πυρὸς τοῦ ἀσβέστου ἐλευθέρωσον.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

www.tezaurliturgic.ro



Ἕτερα τῆς Ἁγίας. «**Τὴν θείαν ταύτην**»

Παθῶν θαλάσσας ἀοίδιμε τῇ ῥάβδῳ τῶν εὐχῶν διαρρήξασα, αὖθις ἐπόντισας Φαραὼ σὺ τὸν ἀόρατον, ἐπαγγελίας, μῆτερ, πρὸς χθόνα φθάσασα.

Πολλαῖς τὴν σάρκα νεκρώσασα, ὦ Μῆτερ Θεοκτίστη, ἀσκήσεσι, ψυχὴν ἐζώωσας καὶ τῷ Κυρίῳ ἐτέλεσας ναὸν σαυτήν, ὁσία, περικαλλέστατον.

Τὸ σκότος, μῆτερ, διέφυγες παθῶν καὶ πρὸς τὸ φῶς κατεσκήνωσας νῦν τὸ ἀνέσπερον, τῶν σὲ τιμώντων φωτίζουσα τὰς διανοίας φέγγει τῶν σῶν δεήσεων.

Θεοτοκίον

Τὴν σὴν παράσχου βοήθειαν, καὶ ῥῦσαί με κινδύνων καὶ θλίψεων, ἐκλυτρουμένη με τῶν ὀδυνῶν καὶ πταισμάτων μου ἡ τοῦ παντὸς τεκοῦσα τὴν ἀπολύτρωσιν.

Καταβασία. **Τὴν θείαν ταύτην καὶ πάντιμον**

Κοντάκιον **ἦχος δ'.** «**Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ**»

Τῶν ὁρωμένων διαδρᾶσα βαρβάρων, τῶν ἀοράτων τὴν ὀφρὺν κατεβάλου, καὶ τῆς σαρκὸς ὁσία ἡδονάς, τέλεον νεκρώσασα τῷ Θεῷ συνεκράθης. Ζήσασα ὡς ἄσαρκος ἐπὶ γῆς, θεοφόρε, διὸ συνοῦσα νῦν ἐν οὐρανοῖς, τῷ σῷ νυμφίῳ, ἡμῶν ἀεὶ μέμνησο.

Ὁ οἶκος

Χείλη μεμολυσμένα, νοῦς δ' ἐσκοτισμένος, ποῖον, σοί, μῆτερ ὁσία, ὕμνον προσοίσουσιν; ὅμως τῇ σῇ πρεσβείᾳ θαρρήσας ἐτόλμησα εὐφημῆσαι, ὡς εἶχον, τὴν ὑπὲρ ἄνθρωπον σοῦ βίωσιν· πῶς μόνη ἐν ἐρήμῳ γυμνὴ καὶ ἄστεγος τὰς μεταλλαγὰς τῶν καιρῶν καθάπερ ἄσαρκος ἐνεγκοῦσα, ἄρτου γευομένη, ἐν χρόνοις πέντε πρὸς τοῖς τριάκοντα, θερμίοις καὶ λαχάνοις χρωμένη πρὸς τροφήν. Ὅθεν ἀγάλλῃ νῦν, δαψιλῶς ἐντρυφῶσα τῆς ἀθανάτου τραπέζης σὺν τῷ Νυμφίῳ σου. Αὐτὸν εἰς αἰῶνας ὑμνοῦσα καὶ ἡμῶν ἀεὶ μέμνησο.

Τῷ αὐτῷ μηνὶ θ', μνήμη τῆς ὁσίας Μητρὸς ἡμῶν Θεοκτίστης τῆς Λεσβίας:

*Στίχ. Λέσβου τὸ θρέμμα παρθένος Θεοκτίστη*
*Κτίστῃ Θεῷ πρόσεισι πάγκαλος νύμφη.*

Συναξάριον:

ΠΑΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΑΝΤΩΝΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΣ

## ΒΙΟΣ ΚΑΙ ΠΟΛΙΤΕΙΑ ΤΗΣ ΟΣΙΑΣ ΚΑΙ ΑΕΙΜΝΗΣΤΟΥ

# ΘΕΟΚΤΙΣΤΗΣ ΤΗΣ ΛΕΣΒΙΑΣ*

Εἰκόνες καὶ στῆλαι καὶ ἀνδριάντες διὰ τοῦτο πάντες εἰς τὸν ἡμέτερον βίον εἰσήχθησαν, ἅμα μὲν ὡς εἰς ἔπαινον τὸν μέγα τι καὶ κοινωφελὲς κατωρθωκότων, ὧν καὶ σώζουσι τοὺς τύπους γινόμενα, ἅμα δὲ καὶ εἰς τὸν τῶν ὁρώντων ζῆλον καὶ τὴν τῶν καλῶν ἐπιμέλειαν πολλὰ συντείνειν δυνάμενα. Οἶμαι δὲ καὶ λόγος συντελέσειεν ἂν εἰς μνήμην παρατιθεὶς ἀρετῆς φίλον ἄνθρωπον βίον τε καὶ πράξεις τὰς αὐτοῦ διηγούμενος. Ὁπότε γὰρ ἐκεῖνα τὰ κωφά τε καὶ ἄφωνα διὰ ψιλῆς μόνης τῆς θέας οὕτως ὠφελεῖν δύναται, οἱονεί τις ὑπόμνησις πρὸς ἀρετὴν γινόμενα, πόσον γε μᾶλλον λόγος ὀνήσειε πατρίδα καὶ γένος διαλαμβάνων, ἀγωγήν τε καὶ ἐπιτήδευμα, καὶ τὸ δὴ μεῖζον, αὐτὰ τὰ πράγματα διηγούμενος καὶ ὑπ' ὄψιν τοῖς ἀκροαταῖς ἐκεῖνα καθὰ δὴ καὶ γεγόνασι παριστῶν; Ἐπεὶ οὖν οὕτω πρόδηλος ἐν τοῖς τῶν φιλαρέτων διηγήμασιν ἡ ὠφέλεια, προσέχειν ὑμᾶς ἀξιῶ· βίον γὰρ διηγήσομαι οὐ τὸν τυχόντα, οὐδὲ ὃν πολλοὶ πολλάκις τῶν κατὰ Θεὸν ζῆν ἑλομένων διήνυσαν, ἀλλὰ καινόν τε καὶ σπανιώτατον καὶ ὃν[1] εἰς, οὐκ οἶδα, ἢ δύο τῶν τοιούτων εὐγενῆ καὶ φιλόνεικον ἐν τοῖς καλοῖς ἐσχηκότων ψυχὴν εἵλοντό τε καὶ εἰς πέρας διενεγκεῖν ἠδυνήθησαν. Ἀρκτέον οὖν μοι τῆς ὑποθέσεως καὶ ὅπως ἔχει τοῦ θείου βίου τούτου διηγητέον.

Γενομένῳ μοί ποτε κατὰ τὴν Πάρον, γέγονα γάρ· καὶ γὰρ ἐπὶ Κρήτην διεπεμπόμην ὑπὸ τοῦ μακαρίτου Λέοντος ἐκείνου πεμφθείς, Λέοντος, φημί, τοῦ εὐτυχοῦς ὄντως βασιλέως καὶ τὴν εὐτυχίαν Ρωμαίων τῷ τάφῳ συνθάμψαντος, ἐπεμπόμην δὲ συστρατευσόμενος Ἡμερίῳ τῷ πάνυ, τῷ στρατηγικωτάτῳ δηλαδή, καὶ ἄρχοντι τοῦ τε δρόμου καὶ τοῦ στόλου παντός, ἢ τό γε ἀληθέστερον, καὶ αὐτῶν εἰπεῖν τῶν παθῶν, καὶ ἵνα μὴ τὸ πολλῶν ἐγκωμίων τῆς στρατηγίας ἐκείνου πάρεργον ποιησάμενος καὶ μικρὸν τούτου μνησθεὶς ἀτιμάσω τὸν ἄνδρα, ἐπὶ τὴν παροῦσαν τέως ὑπόθεσιν εἶμι, ἐκείνου κατὰ καιρὸν μνη-

* Συλλογὴ ἁγίου Σάββα, κῶδιξ 170 τοῦ ια'. αἰῶνος καὶ ἕτερος τῆς αὐτῆς συλλογῆς, τοῦ αὐτοῦ αἰῶνος, ὑπ' ἀριθ. 33. Ὁ βίος δὲν ὑπάρχει ἐν τῇ πατρολογίᾳ τοῦ Migne, ἐξεδόθη ὅμως ὑπὸ τοῦ Θεοφίλου Ἰωάννου ἐν τοῖς ἁγιολογικοῖς αὐτοῦ μνημείοις.

[1] Τὸ χειρ. : ὧν.

www.tezaurliturgic.ro



σθησόμενος. Ἐστελλόμην τοιγαροῦν τοῦτο μὲν ἐκείνῳ στρατευόμενος
καὶ προβιβαζόμενος εἰς πεῖραν στρατηγικήν, οἷα πῶλος μητρὶ πρὸς
τὰ γενναιότατα τῶν στρατηγημάτων συσκαίρων, οὗτος[1] γὰρ ἦν ὁ τοῦ
μακαρίτου μου βασιλέως σκοπός, τοῦτο δὲ πρεσβευόμενος πρὸς τοὺς
τὴν Κρήτην κατέχοντας Ἄραβας. Ἐπειδὴ δὲ κατὰ τὴν Ἴον ἐγενόμην
τὴν νῆσον καὶ ιοῦ πρόσω φορά τις εἶρξεν ἀσυμφόρων ἀνέμων ἡμᾶς,
προσεπλεύσαμεν τῇ Πάρῳ, τήν τε νῆσον κατὰ πάρεργον ἱστορήσοντες
καὶ τὸν αὐτόθι τῆς δεσποίνης ἡμῶν ὀψόμενοι τῆς Θεοτόκου νεών, ἐν-
τεῦθεν δὲ καὶ συνέβη τὸ πάρεργον μεῖζον ἡμῖν κομιδῇ τοῦ ἔργου γενέ-
σθαι. Ὡς δὲ κατὰ τὸν λιμένα τὸν πρὸς τὴν Ναξίαν ἀφορῶντα κατή-
χθημεν, ὁ δὲ ἔστι πως ἠρέμα καὶ κατὰ μικρὸν βαθυνόμενος, ἀ-
ναχωρῶν τοῦ κλύδωνος εὐφυῶς, ὥσπερ ἐπὶ τούτῳ κατεσκευασμένος
καὶ τῇ κοιλότητι τοῦ ὄρους κλειόμενος ὡς ἂν καὶ χειμάζοιεν εὐμαρῶς
καὶ θερίζοιεν τὰ πλοῖα, ἐκβεβλήκαμεν καὶ μικρὸν προβάντες πρὸς τὸν
ναὸν ἀνεδράμομεν. Θυμιάσαντες οὖν καὶ τὰς συνήθεις εὐχὰς ποιησά-
μενοι περιῄειμεν τοῦτον ἀγάμενοι. Ὁ δὲ ἦν ἄρα καὶ ἀξιοθέατος καὶ
ὀφθαλμῶν ἀτεχνῶς τρυφή, λείψανα σώζων ἔτι τῆς παλαιᾶς ὡραιότη-
τος· συμμέτρως γὰρ ἐδεδόμητο πάντοθεν καὶ κίοσι συχνοῖς τοῖς ἐκ
βασιλικοῦ ἠρήριστο λίθου, πριστῷ τε λίθῳ πάντα τοῖχον ἠμφίαστο
παραπλησίως τοῖς κίοσιν, εἰς τοσοῦτον δὲ τὸν λίθον λεπτύνας ἐξύφανεν
ὁ τεχνίτης, ὡς δοκεῖν ἐξ ὑφασμάτων τὸν τοῖχον ἐνδεδύσθαι βυσσίνων,
ὁ δὲ λίθος τοιαύτην ὑπέφαινεν ὑγρότητα καὶ μαρμαρυγὴν ὡς καὶ
μαργάρων ἐν τούτῳ νικᾶσθαι τὸ στίλβον. Οὕτω τις ὑπερφυὴς καὶ ξε-
νίζουσα ἡ τοῦ λίθου ἦν ἀρετή, μᾶλλον δὲ ἡ τοῦ τεχνίτου σπουδή,
ὃς καὶ τὸ κάλλος ἐφιλονείκησε τῇ φύσει προσαπονεῖμαι. Ὡς δὲ καὶ
τῆς σεβαστῆς καὶ θείας τραπέζης τὸ ὑπερκείμενον ὀρόφιον, ὃ καὶ κι-
βώριον καλεῖν σύνηθες, εἴσω τῆς πύλης ἑωράκαμεν, κατεπλάγημεν αὐτὸ[2]
τῆς τερπνότητος, οὐδὲ γὰρ ἐῴκει λίθου φύσιν ἔχειν τὸ τόρνευμα, οὐδὲ
σιδήρῳ καὶ τέχνῃ καὶ χερσὶ λελαξεῦσθαι, ἀλλ' οἷά τινα γάλακτι ὀπῷ
φυραθέντι καὶ πρὸς τὸ σχῆμα τοῦ τέγους μεμηχανευμένῳ τὸ χεύματι.
Τοιούτῳ ποτὲ ἐγὼ λίθῳ τεθέαμαι διφρηλατοῦσαν ἐπὶ ταύροις σελή-
νην. Τὸ μὲν οὖν ἔκειτο τεθραυσμένον, ἡμεῖς δὲ συνεθέομεν πρὸς τὴν
ὄψιν καὶ παριστάμεθα ἐπαρώμενοι καὶ πάσῃ γλώσσῃ τὸν συντρίψαντα
διαλοιδορούμενοι. Καὶ γὰρ ἦν τι χρῆμα καὶ ἄξιον οἴκου Θεοῦ κει-
μήλιον καὶ ἀνάθημα. Παριστάμενοι τοίνυν οὕτω καὶ θαυμάζοντες καὶ
ὥσπερ ἐπὶ τῷ πάθει τοῦ λίθου καὶ αὐτοὶ τὰς ψυχὰς πάσχοντες, ὁρῶμεν
ἐξ ἀπίνης μοναχὸν ὑπερκύψαντα τῆς ἐρήμου καὶ τοῦ ἄλσους προβαί-

[1] Χειρ.: οὕτω.
[2] Οὕτω τὸ χειρ.



νοντα καὶ ὡς ἡμᾶς ἀφικνούμενον, ὠχρὸν τὸ πρόσωπον, διατετηκότα
τὰς παρειάς, γυμνὸν τὼ πόδε, αὐχμηρὸν ὅλον, χιτῶνα τρίχινον ἐνδεδυμέ-
νον, ἐπωμίδα τε καὶ τὸ τῆς κεφαλῆς κάλυμμα τῷ χιτῶνι παρόμοιον, ὡς
θῆρα δασύν, ὡς ἄγγελον εὐμενῆ, οὐ γὰρ ἐδόκει ἀνδρὶ σιτοφάγῳ, ἀλλ'
ἀσάρκῳ καὶ μικροῦ[1] καὶ ἀναίμονι, καὶ συνελόντα φάναι, θαῦμα ἦν καὶ
ἰδεῖν ἀπὸ τῆς ὄψεως καὶ καταμαθεῖν ἀπὸ τῆς ψυχῆς. Προσελθὼν οὖν ἠσπά-
ζετο ἡμᾶς καὶ ἡμεῖς αὖθις ἐκεῖνον, καὶ ὅστις εἴη λέγειν, καὶ πατρίδα, καὶ
γένος, καὶ εἰ μόνος ἐνταῦθα διάγει, προετρεπόμεθα. Ὁ δέ, πατρίδα μὲν
καὶ γένος καὶ τἆλλα, οἷς οἱ κατοικοῦντες· ἄνθρωποι πόλεις σεμνύνονται,
λέγειν οὐκ ἔχω, φησίν, οὐδὲ γὰρ ἐμοὶ τῶν ἐν γῇ μέλει τινός, οὐδὲ τοῖς
ῥέουσι τούτοις ἥδομαι· πῶς γὰρ ὧν ἡδέως μᾶλλον ἐξίσταμαι; πατὴρ
δέ μοι καὶ δεσπότης ὁ Θεός, ᾧ μόνῳ ζῶ καὶ δι' ὃν μόνος ἀλώμε-
νος κατὰ τὴν ἔρημον ταύτην χρόνους πλείους ἢ καὶ τριάκοντα καρ-
τερῶ, ὄνομα δέ μοι Συμεών, τὸ δὲ ἀξίωμα μοναχὸς καὶ ἱερεύς, τῆς
ζωοθύτου καὶ ἀναιμάκτου φημὶ θυσίας. Ἡμεῖς δὲ τὴν ἀρετὴν ἐκείνου
δυσωπηθέντες, ἀπό τε τῶν λόγων, ἀπό τε τῆς θέας καὶ τοῦ ἐνδύμα-
τος ἔτι καὶ τῆς ἐπιφαινομένης ἀσκήσεως καὶ μᾶλλον ὅτι τοῦ Θεοῦ
ἱερεὺς ἐχρημάτιζε, τοῖς ποσὶ προσπεσόντες ᾐτοῦμεν εὐχὴν καὶ συγγνώ-
μην. Ὁ δὲ καὶ ηὔξατο καὶ παρακλήσεως προέτεινε λόγους καὶ προσέ-
χειν ἐκέλευσεν ἑαυτοῖς καὶ μὴ ἀθυμεῖν· συμπαθής τε γὰρ ὁ Θεὸς καὶ
μακρόθυμος καὶ τοὺς πρὸς αὐτὸν ἐπιστρέφοντας ἀγκάλαις οἷα τὸν ἄ-
σωτον δέχεται. Τούτοις δὲ καὶ ἄλλοις τισὶ παρακαλέσας ἡμᾶς, ἐσιώπα.
Ἐγὼ δὲ περιεργότερος ὢν καὶ συνιέναι δεινὸς ἦθος ἀνδρός, ἠξίουν
τὸν μέγαν καὶ διδάξαι τι τῶν ἀπορρήτων, οὐ γὰρ ἀμοιρεῖν ὁμιλίας ἐῴ-
κει μοι θεϊκῆς. Ὁ δέ, τούτων μέν, ἔλεγεν, ἅλις· οὐδὲ γὰρ ἐγὼ τοιού-
των ἠξίωμαι· τὰ ἐμαυτοῦ γὰρ ἐξῆλθον ἐνταῦθα πενθεῖν, οὐχὶ τὰ ὑπὲρ
ἐμὲ ζητεῖν. Ταῦτα δὲ ἔλεγεν οὐκ ἀληθεύων, ἀλλὰ μετριάζων μᾶλλον
καὶ ταπεινούμενος, ὡς τὰ μετὰ ταῦτα διδάξει. Λαβόμενος οὖν μου τῆς
δεξιᾶς[2], ὥσπερ συνήθης ἤδη, οὕτω γὰρ διέθηκε τὸ ἁπλοῦν, αἱ γὰρ
ψυχαὶ τῶν θείων ἀνδρῶν, ἐπειδὰν ἐν μετοχῇ τοῦ κρείττονος γένωνται,
πρὸς αὐτὸ φιλονεικοῦσι μεταγίνεσθαι καὶ τῇ αὐτῇ τοῦ πρώτου ἀγα-
θοῦ μετουσίᾳ ἀγαθοὶ πάντῃ καθίστανται, ἀκέραιοι, ἁπλοῖ, πάντων ἐ-
ξηρημένοι τῶν ἀνθρωπίνων, ὥσπερ δὴ καὶ οὗτος, χαρίεις τε ὢν καὶ ἀ-
γαθός· ἐδόκει λοιπὸν τῷ ἀπλάστῳ εἷς ὢν ἐξ ἡμῶν. Εἶτα ἐπ' αὐτο-
σχεδίου που καθέζεσθαι διεκελεύετο· ἦσαν δέ που καὶ λίθοι καὶ κίο-
νες τοῦ συμπτώματος καὶ πόα συχνὴ καὶ χλοάζουσα, πηγή τε νάμα-

[1] Οὕτω φέρεται γεγραμμένον εἰς ἀμφότερα τὰ χειρόγραφα.
[2] Τὸ ἕτερον χειρ. ἔχει ἐπὶ πλέον: καταψήσας.

www.tezaurliturgic.ro



τος ἡδὺ τὸ ποτὸν ἀναβλύζουσα καὶ ὁ χῶρος ὅλος ἡσυχίας ἀνάπλεως
ἦν. Καθίσας οὖν ἐπὶ τῆς πόας καὶ αὐτόν με παρακαθισάμενος ἐῴκει
γεγηθέναι ὅτι περ ἡμῖν περιέτυχεν. Ἀπιδὼν δὲ πρὸς αὐτόν, ὥρα σοι,
ἔφην, ὦ πάτερ, εἴ τι καλὸν ἐνταῦθα τεθέασαι διηγήσασθαι. Πλήν, ἀλ-
λὰ λόγου ἀρξάμενος τέως κατάλεξον, τίς ὁ διαθεὶς οὕτω τῆς θείας τρα-
πέζης τουτὶ τὸ κάλυμμα καὶ τίς ἡ ἀφιλόκαλος καὶ θηριώδης ἐκείνη
ψυχή τε καὶ χεὶρ ἡ τοσοῦτον ἔργον ἀμερίμνως συντρίψασα· καὶ γὰρ
κατὰ βραχὺ διενοούμην αὐτὸν ἐπαγαγέσθαι πρὸς τὰ τελειότερα. Ὁ δέ,
τὸν Νίσιριν ἐκεῖνον ἀκούεις, ἔφη, τὸν τοῦ ναυτικοῦ τῆς Κρήτης κα-
τάρξαντα; οὗτος ἐκεῖνος ὧδε γενόμενος, ἐν θαύματί τε τὸ ἔργον τοῦ
κάλλους θέμενος μεμελέτηκεν εἰς Κρήτην μετακομίσαι. Ὡς δὲ τὰς πύ-
λας διεμέτρησε πρότερον, εἶτα τὸ ἱερὸν τοῦτο καὶ θεῖον ὀρόφιον ἔδοξέ
τε καλῶς ἔχειν καὶ [1] καθήκειν εἰς γῆν ἕλκειν ἐπεχείρει τῶν πυλῶν
ἔξω, τὸ δὲ εὐθὺς ἐγίνετο μεῖζον [2]. Εἶτα μετρήσας ἐξάγειν ἐσπούδαζε,
τὸ δὲ καὶ αὖθις μεῖζον ἐγίνετο καὶ μᾶλλον μεῖζον, καὶ τοῦτο πολλάκις
ἕως ὁ ἄραψ ἐνέδωκε τοῦ βιάζεσθαι, ἀλλ' οὐ τοῦ φθονεῖν. Ὡς γὰρ κά-
μνων διημάρτανε τοῦ σκοποῦ, καὶ γὰρ ὡς ἔοικεν οὐκ ἠξίου τὸ θεῖον
μιαρὸν γενέσθαι τὸ ἱερόν, ἔσπευδε γὰρ ὡς λέγεται τῇ συναγωγῇ τοῦτο
τῶν τῆς Ἄγαρ ἀνάθημα καταθέσθαι, συνθλάττει τὸ καλὸν ἐκεῖνο ἔρ-
γον ὁ βδελυρός, βασκήνας τοῦ κόσμου τῷ τῆς Θεοτόκου ναῷ. Ταῦτα
οὖν ἀκούσας ἐλοιδορούμην αὖθις τὸν μιαιφόνον. Ὁ δέ φησιν, ἀμέλη-
σον· ἔδωκε γὰρ τῆς παροινίας οὐ μετὰ πολὺ δίκην πρὸς τῷ τῆς κατ'
Εὔβοιαν θαλάσσης συντριβεὶς ἄκρῳ, ὃ ξυλοφάγος ὠνόμασται καὶ γέ-
γονεν ὑποβρύχιος. Ἠξίουν τοιγαροῦν τὸν θεῖον ἐκεῖνον μετασχεῖν τρο-
φῆς καὶ τὸ ἡμῶν παρακαλέσαι μικρόψυχον τοῦ πλοῦ καὶ τῆς πρόσω
φορᾶς ἕνεκα· καὶ γὰρ τρίβειν ἐδόκουν τὸν χρόνον ἀντιπνεόντων ἡμῖν
ἀποτροπαίων τῶν ἀνέμων. Ὁ δὲ καὶ μετέλαβε καὶ μηδὲν ἀποκρύπτων
ἀνεῖπεν, ὡς διαπλεύσεις μὲν εἰς Ναξίαν, κἀκεῖσε μίαν ναυλοχησάμενος
ἡμέραν καὶ τὴν δευτέραν πλεύσας τριταῖος εἰς τὴν Κρήτην ἀφίξει μη-
δεμίαν ὑποστὰς κάκωσιν, διαθήσεις τε τὰ κατὰ σαυτὸν ὡς ἂν ἐθελή-
σειας καὶ καθὼς ἔχει τὰ τῆς βασιλικῆς διατάξεως, αὖθίς τε παλινοστή-
σας εὖ ἀποδεχθήσει παρὰ τοῦ πέμψαντος. Ταῦτα μὲν οὖν ὕστερον ὡς
ἐκεῖνος ἔφη γέγονέ τε καὶ πέρας εἴληφεν, αὐτός τε φανερὸς ἦν, ὅτι
τὴν ἄγνοιαν ἣν πρότερον ἔλεγεν ἔχειν οὐκ ἀληθεύοντος ἦν, ἀλλὰ διὰ
πολλὴν μετριότητα προσποιουμένου τὸν ἀγνοοῦντα. Εὐξάμενοι γοῦν
καὶ ὑμνήσαντες ἐν τῷ ναῷ κατέβημεν εἰς τὰς ναῦς, ἕωθεν δὲ διεπορ-

[1] Τὸ χωρίον ἐν ἀμφοτέροις τοῖς χειρ. φερόμενον ὡς ἔχει φαίνεται χωλαῖνον.
[2] Ἐνταῦθα τὸ ἕτερον χειρ. ἔχει ἐπὶ πλέον: καὶ αὐτὸς τὸν τοῖχον διώρυττεν.



θμεύθημεν εἰς Ναξίαν, δέκα σχεδὸν σταδίους ἔχοντος τοῦ πορθμοῦ, καὶ
αὐτὸς τῷ Θεῷ λειτουργήσας καὶ τῶν θείων ἡμῖν μεταδοὺς μυστηρίων
μετέλαβε τροφῆς σὺν ἡμῖν, εἶτα λέγειν ἤρξατο πρός με. Σὺ μὲν οὖν
προφασίσει περὶ ὧν ἀξιῶν ἐθέλω σου τὴν ἀγάπην ἀπορίαν λόγων, ἢ
δουλειῶν ἀφορμάς, ἢ γυναικός, καὶ τέκνων, καὶ οἴκου φροντίδος, ἤ
τινας ἄλλας αἰτίας διακρινόμενος ἡμῶν τὴν ἀξίωσιν· ἐγὼ δέ σοι καὶ
εὐημερίαν ἐπαγγελοῦμαι, καὶ εὐπορίαν πάντων, καὶ πολλὴν ἐκεχειρίαν
εὑρεῖν, καὶ δέομαι τηνικαῦτα τῶν ἐμῶν λόγων ἐν μνήμῃ γενόμενον τὸ
τῇδε γεγονὸς συγγράψαι, μνήμης ὂν καὶ διηγήματος ἄξιον, ἵν' ὁ
Θεὸς ἡμῶν παρὰ τῶν ἀκουόντων θαυμάζηται, θαυμαστὸς γάρ, φησίν,
ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ, οὐ μὴν ἀλλὰ καὶ ζηλωταὶ πολλοὶ τῶν
δι' ἀρετῆς ὑψωθέντων γενόμενοι τῶν ἴσων τυγχάνουσι, καὶ αὐτὸς κερ-
δάνῃ τὸν ἐκ τούτου μισθόν. Ταῦτα παραινέσας, ὧδε λέγειν ἀπήρξατο,
πρᾶγμα ἐμοὶ παραδούς, φιλοθέοις ἀκοαῖς τὰ μάλιστα χαριζόμενος.

Κυνηγοί τινες ἐξ Εὐβοίας δεῦρο πρὸ χρόνων ἦλθον ὀλίγων, ἔχει
γὰρ ἡ νῆσος ἐλάφων τε καὶ αἰγῶν θήραν ὅ,τι πολλήν. Τούτων εἷς
θεοσεβὴς καὶ προσέχων ἑαυτῷ μάλιστα διήγημα διηγήσατο τῆς τοῦ
Θεοῦ μεγαλοπρεπείας οὐχ ἥκιστα ἄξιον, ὃς κατὰ καιροὺς οἶδε θαυμα-
στὰ ποιεῖν καὶ παράδοξα. Ἦλθον, φησίν, αὐτόθι θηρεύσων ποτὲ καὶ
πρὸς τὸν θεῖον τῆς Θεοτόκου νεὼν εἰσελθὼν προσεκύνησά τε καὶ προ-
σηυξάμην, ὥσπερ ἔθος ἀεί μοι προσῆν. Περιβλεψάμενος δὲ μετὰ τὴν
εὐχὴν εἶδον εἰς τὸ ἔδαφος ὕδωρ ἐν βόθρῳ βραχεῖ, μικρά τε ἐν
τούτῳ βρεχόμενα θέρμια, καὶ γὰρ ὁ τόπος τρέφει ταῦτα καθὼς αἱ
λοιπαὶ νῆσοι βοτάνας ἑτέρας. Ἡ μὲν γὰρ μαράθρου πολυχύτους ὄρ-
πηκας εἰς πλῆθος βλαστάνει, πήγανον δὲ μόνον ἄλλη, καὶ θύμον ἑ-
τέρα ἢ τῶν ἄλλων τι βοτανῶν, ὃ δὲ φέρει πάντων ἐξαίρετον ἡ νῆσος,
τοῦτο τῶν ἄλλων καὶ μᾶλλον τρέφει καὶ ποιεῖ εὐθαλέστατον. Ἑωρά-
κειν οὖν, ὡς ἔφην, τὰ θέρμια οὕτως ἀπαλυνόμενα καί με λογισμός τις
ὑπῄει ὡς πάντως εἴη τις ὁ ταῦτα καθεὶς εἰς τὸν λάκκον, καὶ θεῖος εἰ-
κός ἐστιν ἄνθρωπος ὁ ταύτην τὴν ἔρημον κατοικῶν. Ταῦτα οὖν λογι-
ζόμενος τὴν ἑταιρίαν ἔσπευδον φθᾶσαι πρὸς τὴν ὕλην ἤδη χωρήσα-
σαν, τυχεῖν δὲ ηὐχόμην τοῦ μεγάλου τούτου θηράματος· ἤλπιζον γὰρ
κερδᾶναί τι μέγιστον παρ' αὐτοῦ. Θηρεύσαντες οὖν θήραν πολλὴν ἐχω-
ροῦμεν ἐπὶ τὴν ναῦν, ἀλλ' ἐκεῖνοι μὲν ἐβάδιζον πρὸς τὴν θάλασσαν,
ἐγὼ δὲ ἐτρεπόμην πρὸς τὴν εὐχήν. Εἰσελθὼν οὖν εἰς τὸ τῆς δεσποί-
νης τέμενος προσηυχόμην, ὁρῶ δὲ κατὰ τὸ δεξιὸν τῆς ἁγίας τοῦ Θεοῦ
τραπέζης οἷά τινα κρόκην ὑπ' ἀνέμου ῥιπιζομένην, αὖθίς τε ἔδοξα βλέ-
πειν ἀράχνης ἱστόν. Ὡς δὲ προβὰς τὸ φαινόμενον διαγνῶναι ἠβου-
λήθην, ἤκουσα φωνῆς λεγούσης· στῆθι, μὴ προβῇς, ἄνθρωπε, πλέον
μηδὲ πλησιάσῃς, αἰσχύνομαι γὰρ οὖσα γυνὴ γυμνὴ θεαθῆναί σοι.

www.tezaurliturgic.ro



Ταῦτα οὖν ἀκούσας καὶ τῷ παραλόγῳ καταπλαγεὶς ἠβουλόμην φυγεῖν, ἀνωρθοῦντο γάρ μου τῆς σαρκὸς αἱ τρίχες καὶ ἀκάνθης ἦσαν ὀξύτεραι· τὸ γὰρ ἀπροσδόκητον ἐξ ἀπίνης ὀφθὲν δουλοῖ τὰ φρονήματα κἂν θρασὺς εἶναι δόξει. Καταπλαγεὶς ἔστηκα κεχηνώς. Εἰς ἑαυτὸν οὖν γενόμενος καὶ θαρσήσας, ἠρώτων τίς τε εἴη καὶ πῶς ταύτην τὴν ἔρημον κατοικεῖ. Καὶ πάλιν ἐξικνεῖτο φωνή· ρίψον μου τὸ χιτώνιον δέομαι, λέγουσα, καὶ καλυψαμένη ὅσον μοι τὸ θεῖον βούλημα κελεύει λέγειν οὐκ ἀποκνήσω. Περιελόμενος οὖν εὐθὺς τὸν ἐπενδύτην ἀφῆκα καὶ τῆς πύλης ἐξέδραμον, ἡ δὲ λαβοῦσα περιεβάλλετο, μετὰ μικρὸν δὲ ὑποστρέψας ὁρῶ ταύτην ἔνθα καὶ πρὶν ἱσταμένην. Καὶ ἦν ἄρα τὸ μὲν εἶδος γυνή, τὸ δὲ φαινόμενον ὑπεράνθρωπον· θρὶξ λευκή, πρόσωπον μέλαν, μικρόν, ὑποφαῖνον λευκότητα, δέρματι συνέχουσαν μόνῳ τὴν τῶν ὀστῶν ἁρμογήν, ἥκιστα σαρκὸς ἐμπεφυκυίας, ἐῴκει δὲ τὸ ὅλον σκιᾷ. Ταῦτα οὖν ἰδὼν ἐδεδοίκειν, ἔτρεμον, ἑαυτὸν ἐμεμφόμην τῆς ἀκαιρίας, ὅτι μόνος τῆς ἑταιρίας ἀπολειφθεὶς τοιούτῳ ἐνέτυχον. Σύντρομος δὲ ὅμως πρηνὴς πεσὼν ἐδεόμην εὐχῆς, εὐλογηθῆναί τε παρ' αὐτῆς ἐλιπάρουν. Ἡ δὲ πρῶτον μὲν ἀποβλέψασα πρὸς ἀνατολάς, τάχα βουλομένη θεραπεῦσαί μου τὴν διάνοιαν τοῦ μὴ δοκεῖν εἶναι φάντασμα, τὰς χεῖρας πετάσασα, προσηύχετο μικρὸν ὑποψιθυρίζουσα. Εἶτα καὶ στραφεῖσα πρός με, ὁ Θεός, φησίν, ἄνθρωπε, ἐλεήσαι σε· πλήν, ἀλλὰ τίνος χάριν πρὸς τὴν ἔρημον ταύτην ἀφῖξαι, καὶ ὅτου δεόμενος πρὸς ἄοικον ἐλήλυθας νῆσον; Ἐπεὶ δέ σε τὸ θεῖον δεῦρο ἤγαγε βούλημα, δοκῶ μοι τῆς ἐμῆς ἕνεκα ταπεινώσεως, πάντα τὰ κατ' ἐμὲ ὅπως ἔχει διδάξω. Ἐμοῦ δὲ καὶ πάλιν εἰς γῆν ἑαυτὸν καταβεβληκότος καὶ λέγειν δεομένου, τοιῶνδέ που ἤρχετο λόγων, λόγων τινων σειρήνων, πίων ἠρινῶν ἀηδόνων, οὐκ ἀποκρυπτουσῶν τὴν ἡδονήν.

Ἐμοί, φησί, Λέσβος πατρίς, Μήθυμνα πόλις, ὄνομα Θεοκτίστη, τὸ πολίτευμα μοναχή. Ἐπινηπίας δέ μου τὴν ἡλικίαν, τῶν γεννητόρων κατοιχομένων, παρὰ τῶν συγγενῶν ἐδόθην εἰς παρθενῶνα καὶ τὸ μοναχικὸν ἠμφίεσμαι σχῆμα· ἔτη δὲ ἐγγύς που ὀκτωκαίδεκα γενομένη, περὶ τὰς τοῦ Πάσχα ἡμέρας εἰς τὴν πλησίον τῆς πόλεως ἐξέδραμον κώμην ἀσπασομένη τὴν ἀδελφήν, ἣν γάρ μοι κατοικοῦσα πρὸς τῇ κώμῃ μετὰ συμβίου. Νυκτὸς δὲ ἐπιδραμόντες ἄραβες Κρῆτες, ὧν ἀρχηγὸς ὁ Νίσιρις ἦν ἐκεῖνος, πάντας ἡμᾶς αἱροῦσιν. Ἕωθεν οὖν παιανίσαντες ἀπεπλεύσαμεν καὶ τῇ νήσῳ ταύτῃ προσώρμισαν. Προσαγαγόντες δὲ τοὺς αἰχμαλώτους τὰ τιμήματα διετίθεντο. Ἐγὼ δὲ σκηψαμένη πρόφασιν καὶ πρὸς τὴν ὕλην χωρήσασα δρόμου τοῦ πρόσω εἰχόμην καὶ πρὸς τὸ ἐνδότερον ἐχώρουν τῆς νήσου. Εἶτα οὐκ ἐνέδωκα φεύγουσα ἕως ταῖς πέτραις καὶ τοῖς ὀξέσι τῶν λίθων[1] καὶ ξύλων περιπείρασα

[1] Ἐκ τοῦ ἑτέρου χειρ. τὸ «τῶν λίθων» ἐλλείπει.



τοὺς πόδας ἐξαίμους διέθηκα καὶ τὴν γῆν τοῖς αἵμασι κατεμόλυνα, καὶ τέλος ἀτονήσασα κατέπεσον ἡμιθανής. Καὶ τὴν μὲν πᾶσαν νύκτα τὰς ὀδύνας μὴ φέρουσα τῶν τραυμάτων πικρῶς διετέλουν. Ἕωθεν δὲ τοὺς ἀλάστορας ἐκείνους ἀποπλέοντας ἰδοῦσα πάσης ἀπηλλάγμην ὀδύνης, ἡδονῆς δὲ ὅσης ἀπέλαυον οὐκ ἔστιν εἰπεῖν, ἡ γὰρ τοῦ λίαν φοβοῦντος ἐλευθερία παντὸς ἄλλου λυποῦντος ἐμπαρεῖχέ μοι λήθην. Καὶ νῦν ἤδη πρὸς τοῖς τριάκοντα χρόνοις καὶ μικρόν τι πρὸ ἐνταῦθα τοῖς θερμίοις καὶ ταῖς ἐκ τῆς ἐρήμου τρεφομένη βοτάναις, μᾶλλον δὲ τῷ τοῦ Θεοῦ λόγῳ, διατελῶ μεμνημένη τῶν θείων λογίων, ὡς οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ' ἐν παντὶ ρήματι ἐκπορευομένῳ διὰ στόματος Θεοῦ. Ἐγυμνώθην δὲ τῶν ρακίων μου ἤδη διερρωγότων, οἷσπερ δὴ καὶ ᾐχμαλώτισμαι, ἐνδύομαι δὲ καὶ σκέπομαι θείᾳ χάριτι[1] τῇ τὸ πᾶν συνεχούσῃ. Ταῦτα εἰποῦσα καὶ τὸ ὄμμα εἰς οὐρανοὺς τείνουσα ηὐχαρίστησε· διαλιποῦσα δὲ μικρόν, ἐπεί με πρὸς γῆν ἑωράκει σὺν ἡσυχίᾳ πολλῇ νεύοντα καὶ μηδὲ πρὸς αὐτὴν ἀτενίσαι τολμῶντα, αἰδὼς γάρ μου κατεῖχε τοὺς ὀφθαλμούς, ἣν ἔτικτε μέγεθος ἀρετῆς, λέγειν ἀρξαμένη πάλιν, τὰ μὲν κατ' ἐμαυτήν, εἶπεν, ἄνθρωπε, διηγησάμην, αἰτῶ δέ σε μίαν ταύτην ἀποτῖσαί μοι χάριν διὰ τὸν Κύριον. Ἡνίκα μετὰ ταῦτα πρὸς τὴν νῆσον ταύτην θήρας χάριν ἐκπλεῖς, οἶδα γὰρ ὡς ἥξεις πάντως εὐδοκοῦντος Θεοῦ, ἐν σκεύει λαβεῖν μοι καθαρῷ μίαν τῶν ἀχράντων μερίδων τοῦ σώματος τοῦ Χριστοῦ, καὶ γὰρ ἐξ οὗ τὴν ἔρημον ταύτην ᾤκησα τῆς τοιαύτης οὐκ ἠξίωμαι δωρεᾶς. Ταῦτα οὖν εἰρηκυῖα καὶ μηδενὶ τὸ παράπαν εἰπεῖν περὶ τούτων ἐντειλαμένη, σὺν εὐχῇ πρὸς τοὺς ἑταίρους ἀφῆκεν. Ἐγὼ δὲ πάντα πληρώσειν συνθέμενος χαίρων ἐξῄειν, ὅτι τοιούτου ἠξίωμαι τυχεῖν θησαυροῦ, καὶ ζώων ἀγρίων θηρευτὴς ὤν, ἀνθρώπων γέγονα, εἰμὴ προσήκει μᾶλλον ἀγγέλων καλεῖν. Κατὰ γοῦν τὸ πρόσταγμα τῆς ὁσίας ἡνίκα πάλιν μετὰ τῶν ἑταίρων ἔμελλον ἤδη ἐξιέναι πρὸς θήραν ἐλάφων τε καὶ ἀγρίων αἰγῶν, οὓς ἡ τοιαύτη νῆσος πολλοὺς καὶ μεγάλους τῶν ἄλλων μάλιστα τρέφει, θαῦμα εἰπεῖν τε καὶ διηγήσασθαι, τοῖς μὲν γὰρ ἐλάφοις τὴν χροιὰν εἰσι παραπλήσιοι, μείζους δὲ τὸ μέγεθος ἢ κατ' ἔλαφον, τὸ δὲ κέρας δολιχὸν ὅσον ἑκκαιδεκάδωρον, οὐχ ὡς τῶν ἐλάφων ὄζοις καὶ παραφυάσι κοσμούμενοι, ἀλλ' εὐθετενὲς ὅλον καὶ διὰ μιᾶς τῆς κεραίας περαινόμενον. Ἐπεὶ οὖν ἔμελλον ὡς εἴρηται πρὸς θήραν ἐκπλεῖν, λαβόμενος μερίδα τῆς θείας τοῦ Κυρίου σαρκὸς ἐν πυξίῳ πρὸς τὴν μακαρίαν ἐκόμιζον. Ἐν τῇ νήσῳ δὲ γενόμενος καὶ πρὸς τὸν οἶκον τῆς θεομήτορος ἐκκλίνας, ταύτῃ διήμαρτον εἴτε παρούσης καὶ λανθανούσης, ὅτι μοι καὶ συνῆλθον τῶν ἑταίρων τινές, εἴτε καὶ

[1] Τὸ ἕτερον χειρ. ἔχει : «χειρί».

ΣΥΝΑΞΑΡΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΝΤΟΡΗΣ ΠΑΠΑ...

www.tezaurliturgic.ro



ἀπούσης, λέγειν οὐκ ἔχω, πλὴν ὅτι διήμαρτον. Οἱ μὲν οὖν ἄλλοι πρὸς τὴν ὕλην θηρεύσαντες ὥρμησαν, ἐγὼ δὲ πρὸς τὸν ναὸν ὑπενόστουν. Καὶ δὴ παρὰ χρῆμα τὸ ἱερὸν ἐφάνη γύναιον τὸ χιτώνιον περιβεβλημένον, ὅπερ πρότερον εἴληφε παρ' ἡμῶν. Εἰς γῆν δέ μου καταβαλόντος ἑαυτόν, ἔδραμε καὶ σὺν δάκρυσι πόρρωθεν, μηδαμῶς, ἔλεξεν, ἄνθρωπε, μὴ τοῦτο ποίει τὸ θεῖον δῶρον ἐπιφερόμενος μὴ καὶ φλέξῃς με τὴν ἀθλίαν ἀτιμάζων τὰ θεῖα. Λαβομένη[1] οὖν τοῦ χιτῶνος ἀνέστη, ἐγὼ δὲ ἐξήγαγον τοῦ κόλπου τὸ πυξίον σὺν τῇ δεσποτικῇ σαρκί. Κἀκείνη πεσοῦσα εἰς γῆν τὸ θεῖον ἀπέλαβε καὶ θρήνοις καὶ δάκρυσι τὴν γῆν βρέχουσα, φέρει γὰρ πολλάκις οὐ λύπη μόνον ἀλλὰ καὶ ἡδονὴ δάκρυον, οἱονεὶ τὸ ταπεινὸν καὶ πολυπενθὲς δηλοῦσα τῆς ἡμῶν φύσεως, νῦν ἀπολύεις, ἔλεγε, τὴν δούλην σου, δέσποτα, ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὅτι μοι τὴν ἄφεσιν τῶν ἁμαρτημάτων ἐν ταῖς χερσὶν ἔλαβον· νῦν ὅπου κελεύει τὸ σὸν κράτος οἰχήσομαι. Ταῦτα εἰποῦσα καὶ τὰς χεῖρας ἐπὶ πολὺ εἰς οὐρανὸν διατείνουσα μετ' εὐχῆς με πρὸς τοὺς ἑταίρους ἀπέστειλεν. Ὀλίγας δέ τινας θηρεύσαντες ἡμέρας καὶ δαψιλῆ τὴν θήραν συσχόντες ἐπανηρχόμεθα, κἀκείνους μὲν ἡ πρὸς τὸ πλοῖον εἶχεν ὁδός, ἐγὼ δὲ πρὸς τὸ μέγα θήραμα τὸ ἐμὸν ἔθεον τὴν εὐχὴν ταύτης συνοδοιπόρον λαβεῖν. Γενόμενος δὲ κατὰ τὸν ναόν, εἶτα περιβλεπόμενος ὡς ἴδοιμι ταύτην, ὢ ἄξιον ἐκείνης χαρᾶς ὅραμα ἐμοῦ δὲ δακρύων[2], ὁρῶ κατὰ τὸν τόπον ἔνθα καὶ πρὶν ἑωράκειν αὐτὴν κειμένην, οἴμοι, νεκράν. Πεσὼν οὖν καὶ τοὺς ὡραίους φιλήσας πόδας, δάκρυσί τε καταβρέξας αὐτούς, ἐν νεὼς εἱστήκειν ἐπὶ πολὺ διαπορούμενος ὅ,τι καὶ πράξαιμι. Σοφὸν μὲν οὖν ἦν ἄρα καὶ συμφέρον δάκρυσιν ἐξιλεωσάμενον τὸν Θεὸν καὶ δεηθέντα τῆς μακαρίας, αὐτὴν ἐπιτρέψαι τὴν οἰκονομίαν τοῦ πράγματος, καὶ ὥσπερ ἔδοξεν ὑπουργῆσαι ταύτης θελήματι θείῳ. Εἰ δὲ τούτου διήμαρτον κατὰ δεύτερον τὸ ᾀδόμενον πλοῦν τοῖς ἑταίροις ἐχρῆν τὸ δρᾶμα κοινώσασθαι καὶ τάφῳ σὺν αὐτοῖς καταθεῖν τῆς ὁσίας τὸ λείψανον. Ἀλλ' ὡς ἔοικε δυσθήρατον χρῆμα ἡ τοῦ εὖ ἔχοντος ἐν πολλοῖς γνῶσις. Ὅθεν αὐτὸς τοῦ καλοῦ τε καὶ τοῦ πρέποντος διημάρτανον, ἀγροικίᾳ δὲ καὶ φρενῶν ἐλαφρίᾳ. Τί γὰρ ἂν καὶ διενοήθη ἰδιώτης καὶ περὶ θήραν ἐπτοημένος ἀνήρ, τολμηρόν τι πεποίηκα, πίστει μὲν ὡς ἐδόκουν, πλὴν ἀλλ' οὐκ ἀρέσκον Θεῷ ὡς αὐτὸ τὸ πέρας ἔδειξεν· ἐπεὶ μηδὲ καλόν, φησί, τὸ καλὸν οὐ καλῶς γινόμενον. Τὴν γὰρ αὐτῆς ἀποτεμόμενος χεῖρα καὶ ὀθόνῃ περιειλήσας κατέρχομαι εἰς τὴν ναῦν. Βαθείας γοῦν ἑσπέρας ἀναχθέντες ἀπὸ τῆς γῆς καὶ τὸ ἱστίον πετάσαντες ἐφερόμεθα. Αἰσίων

[1] Τὸ ἕτερον τῶν χειρ. ἔχει: «λαβόμενος».
[2] Τὸ ἕτερον χειρ. ἔχει: «δακρύοντος».



δὲ τῶν ἀνέμων προσόντων ὥσπερ τῆς νηὸς ἱπταμένης ἅμα φωτὶ τὴν Εὔβοιαν καταλαβεῖν φήθημεν, τὸ δὲ ἦν ἀτεχνῶς μάταιον. Ἐπεὶ γὰρ ἡμέρα ἦν ἐν τῷ αὐτῷ ὄντες λιμένι πάλιν εὑρέθημεν καὶ ἡ ναῦς ἐῴκει πεπεδῆσθαι, πάσαις τε κώπαις καὶ ἀνέμοις ἦν ἀπειθής. Δέος οὖν ἔλαβε πάντας καὶ εἰς ἀλλήλους ὁρῶμεν τὴν αἰτίαν τοῦ πράγματος οὐκ ἔχοντες συμβαλεῖν. Ὀψὲ δέ μοι τῆς θείας χειρὸς ἐπὶ νοῦν ἐλθούσης καὶ διανοηθεὶς μήποτε τοῦτο εἴη ὃ ἀνθέλκει τὴν ναῦν, λαβὼν ταύτην καὶ λαθὼν ἀνῆλθον εἰς τὸν ναὸν καὶ παραθεὶς αὐτὴν τῷ λοιπῷ σώματι κατῆλθον εἰς τὸ πλοῖον καὶ εὐθὺς ἐλυόμεθα. Ὡς γὰρ τοῖς ἑταίροις πλεῖν διεκελευσάμην ἥλλατο θᾶττον ἡ ναῦς καὶ πτηνή τις εἶναι παραδόξως ἐδόκει τῆς ὀθόνης πνεύματος ὑποπιμπλαμένης, ὁδοῦ τε ἀληθοῦς εἰχόμεθα. Καὶ τότε διεξῄειν ἐγὼ τοῖς ἑταίροις τὸ δρᾶμα, ὡς εὗρον τὴν μακαρίαν, ὡς τὰ κατ' αὐτήν μοι πάντα ἀνήγγειλεν, ὡς τῆς θείας δωρεᾶς μετέσχεν εἶτα καὶ ὅπως κοιμηθεῖσαν εὕροιμι, καὶ τελευταῖον τὸ μέγα τόλμημα, ὡς τὴν χεῖρα ταύτης ἀφέλοιμι, δι' ἣν καὶ ἡ ἐπίσχεσις τῆς νηὸς ἦν, καὶ ὅπως ἀποδοθεῖσα πάλιν τὴν ναῦν εὐθὺς ἔλυσε. Ταῦτα ἐκεῖνοι ἀκούσαντες πολλά τε ἡμᾶς τῆς σιωπῆς ἐμέμφοντο καὶ πρύμνην εὐθὺς ἐκρούσαντο, σπουδῇ τε πολλῇ πρὸς τὴν Πάρον ἀνεστρέφομεν καὶ πάντες ὁμοῦ δρόμῳ πρὸς τὸν ναὸν ἐχωροῦμεν δέει τε κατεχόμενοι καὶ πίστει παρακρατούμενοι. Ἐγγίσαντες οὖν τὸν μὲν τόπον εὕρομεν ἔτι τῆς τοῦ σώματος θέσεως ἀποσώζοντα τύπον· γέγονε δὲ ὁ νεκρὸς ἀφανής. Ἔκπληξις οὖν ἔλαβε πάντας καὶ τῇδε κἀκεῖσε περιεθέομεν περισκοποῦντες, περιβλεπόμενοι, αὐτὸ τὸ τῶν κυνῶν ποιοῦντες ἡμεῖς οἱ θηρευταὶ ἰχνηλατοῦντες τὴν μακαρίαν, μήπου μετέπεσεν ἢ ἀνεβίω, καὶ τοῦτο γὰρ οὐκ ἀνέλπιστον ἦν ἐπὶ βίου τοιαύτῃ καινοτομίᾳ καὶ ἀρετῆς θαύματι, ἄλση τε καὶ ὕλας ἐξιχνεύοντες εἴπου τὸ θεῖον ἐκεῖνο κειμήλιον κρύπτεται, οὐδὲν τὸ παράπαν εὑρίσκομεν, οὐκ οἶδα εἴτε Θεοῦ τὸ ἱερὸν ἐκεῖνο μεταθέντος σῶμα ἔνθα φίλον αὐτῷ, εἴτε μένοντος μὲν ὅπου καὶ ἦν, ἡμῶν δὲ καὶ ἰδεῖν κωλυθέντων, ἵνα καὶ μείζων ὁ μισθὸς γένοιτο τῇ διαμαρτυρίᾳ τοῦ ποθουμένου. Οὕτως οὖν τοῦ τιμίου, φησί[1], λειψάνου τῆς μακαρίας ἀποτυχόντες, κατήλθομεν εἰς τὴν ναῦν καὶ ἀναχθέντες ἀπὸ τῆς γῆς ἀπῄειμεν οἴκαδε δοξάζοντες τὸν Θεὸν τὸν ἑκάστοτε ποιοῦντα παράδοξά τε καὶ ἐξαίσια.

Ταῦτα ὡς ἀνωτέρω μοι λέλεκται, διηγησάμενος ὁ μακάριος ἐκεῖνος τοῦ Θεοῦ ἄνθρωπος καὶ ὅρκῳ[2] προησφαλίσατο μὴ λήθης βυθῷ παραπέμψαι τὴν παροῦσαν ὑπόθεσιν, μηδὲ κατὰ πρόφασιν ἥντινα οὖν σιωπῇ τὸ θαῦμα καλύψαι καὶ μὴ ἀνάγραπτον αὐτὸ τῷ αἰῶνι παντὶ

[1] Ἐκ τοῦ ἑτέρου χειρ. ἐλλείπει.
[2] Τὸ ἕτερον χειρ. ἔχει: «ὅρκου».

www.tezaurliturgic.ro



δωρήσασθαι τήν τε θείαν νέμεσιν καὶ τῆς ὁσίας τὴν ἀγανάκτησιν ὑφορωμένους. Ἐμοῦ δὲ πυνθανομένου τόν τε χρόνον καὶ τὴν ἡμέραν τῆς τελευτῆς ἵνα καὶ συγγραφῇ πάντως τὸ θαῦμά τε καὶ ἡ μνήμη δι' ἔτους τελῆται, ὁ ἱερὸς ἐκεῖνος ἄνθρωπος, πολλά, εἶπεν, ὡς ὁρᾷς, ἀγαπητέ, τοῦ διηγήματος παραλέλειπται. Καὶ γὰρ ἐχρῆν καὶ τὸ γένος, καὶ τὴν ἐν τῇ νήσῳ πᾶσαν αὐτῆς ἄσκησιν, ὅπως τε πρὸς τὰς τῶν ἀντικειμένων ἐχθρῶν ἠγώνισται προσβολὰς ταυτὶ πάντα γνώριμα ἔδει εἶναι. Ἀλλὰ τί πάθω τοῦ τῇ μεγάλῃ, φησίν, ἐντυγχόντος μὴ κατὰ τὸν μέγαν ὄντως Ζωσιμᾶν, ὃς ἐπίστατο βίους καὶ ἀγῶνας ἀνιχνεύειν καὶ κατορθώματα; Τοὐναντίον μὲν οὖν ὀρειφοίτης ἐκεῖνος καὶ πολὺς ἄνθρωπος καὶ τῶν τοιούτων ἀνήκοος, πλὴν ἐν τούτῳ διὰ μνήμης εἶχεν, ὡς ἔλεγεν, ὅτι φθινούσης ὀπώρας ὁ καιρὸς ἦν καὶ πρὸς αὐτὸν τὸν Νοέμβριον. Ἀλλ' ἀγαπητὸν πάντως τὸ ἁπλῶς οὕτω γραφῇ τὸν βίον τῆς ὁσίας παραδοθῆναι εἰς πολλῶν ψυχῶν τῶν ἐντευξομένων ὠφέλειαν, τὴν δὲ μνήμην οἱ σπουδαῖοι καὶ φιλέορτοι τῶν ἀνδρῶν καθὸ βούλονται καὶ φίλον αὐτοῖς τοῦ χρόνου τάξουσιν. Οὐδὲν γὰρ ὅσα γε εἰς τὴν μνημονευομένην τὸ κατὰ τήνδε τὴν ἡμέραν τὴν αὐτῆς μνήμην ἑορτάζεσθαι, ὁπόταν οὐδὲ αὐτὸ τὸ πανηγυρίζειν ὅλως· τίνα γὰρ εὔκλειαν προσθήσει καὶ δόξαν, ἐγκώμια καὶ πανηγύρεις, οἷς τῶν οὐρανῶν ἡ βασιλεία καὶ τὰ ἀΐδια κεκλήρωται ἀγαθά, εἰς ἃ ποθοῦσι καὶ αὐτὰ τῶν ἀγγέλων τὰ τάγματα παρακύψαι, πλὴν εἰμὴ ζῆλον ἄρα τοῖς συνιοῦσι καὶ κέντρον εἰς ἀρετὴν αὐτοῖς τε καὶ τοῖς πανηγυρίζουσι μισθὸν προξενήσει;

Ταῦτα ὁ μέγας ἄνθρωπος ἐκεῖνος ἡμῖν παραθέμενος καὶ ἄλλα προσθεὶς τὰ πρὸς σωτηρίαν συντείνοντα ἐξαπέστειλεν. Ἐπιφόρων δὲ ἀνέμων πνευσάντων τῇ ἐπιούσῃ κατήχθημεν εἰς τὴν Δίαν, ἐξ ἧς εἰς Κρήτην. Ταῦτα δὲ πάντως τῆς ποικίλης ἦν καὶ πανσόφου προνοίας, ἔργον Θεοῦ τὸ τὸν μοναχὸν ἐκεῖνον ἡμᾶς ἰδεῖν, τὸ ἐντυχεῖν αὐτῷ καὶ εἰς λόγους ἐλθεῖν, ἀκοῦσαί τε παρ' αὐτοῦ ὅσα ἐκεῖνος πάλιν παρὰ τοῦ θηρευτοῦ μάθοι, ἃ καὶ μᾶλλον σοφὴν ἔχει καὶ παράδοξον τὴν οἰκονομίαν, τὸ τὴν ὁσίαν ἰδεῖν καὶ ἐν καιρῷ τοιούτῳ ἰδεῖν, ὅτε καὶ τὰ τοῦ τέλους ἐγγίζοντα ἦν, ὥστε μὴ λαθεῖν τηλικούτου βίου κοινωφελὲς διήγημα, τὸ λειτουργῆσαν αὐτὸν λειτούργημα τοιοῦτον τῆς τοῦ Θεοῦ, φημί, δωρεᾶς τῇ ταύτης ἀξίᾳ, τὸ θανοῦσαν ἰδεῖν καὶ τὸ ἐπὶ τῇ χειρὶ δρᾶσαι τόλμης ἔργον ὁμοῦ καὶ πίστεως καὶ δι' αὐτὴν πάλιν ἄλλον προβῆναι τρόπον οἰκονομίας θαυμασιώτατον, καθ' ὃν ἥ τε τῆς μακαρίας οἰκείωσις πρὸς Θεὸν δήλη γέγονε, ναῦν ἐπέχουσα κλαπείσῃ χειρὶ καὶ πάλιν ἀποδοθείσῃ λύουσα· γνώμης τε δοκιμασία τῶν συνθηρατῶν καὶ συμπλόων καὶ ψυχῶν εὐγενῶν δήλωσις, οἱ κρείττους ὄκνου παντὸς ὀφθέντες ἑκούσιόν τε πάλιν ὑποστροφὴν προτιμήσαντες διὰ μόνην περι-



ουσίαν πίστεως, αὐτοὶ μὲν ταύτης ἀπηρτισμένον τὸν μισθὸν ἀπεῖχον, τὸ δὲ μεῖζον πάντων, ἡ θεία πρόνοια στρέφουσά τε καὶ ποικίλλουσα ἦν τὸ τὴν ἁγίαν ὀφθῆναι καὶ κρείττω ταφῆς, ἅτε ὅλως ὑπὲρ ἄνθρωπον ζήσασαν, μᾶλλον δὲ λόγοις οἷς αὐτὴ οἶδεν ἡ πάντα τὰ καθ' ἡμᾶς βαθέως οἰκονομοῦσα καὶ διεξάγουσα. Τοῦτο τῆς ἐν Πάρῳ καταγωγῆς ἡμῶν καὶ τῆς ἐπὶ Κρήτην πορείας τὸ μέγα καὶ παρ' ἐλπίδα ἐμπόρευμα. Οὗτος ὁ βίος τῆς μακαρίας Θεοκτίστης· αὕτη ἡ ἄσκησις οὐ γυναιξὶ μόνον ἀλλὰ καὶ ἀνδράσιν αὐτοῖς μιμήσασθαι χαλεπή. Οὕτως ἡ ἀσθενὴς φύσις, τὸ εὐτελὲς γύναιον, οὐδὲν πλέον εἰδὸς ἱστοῦ καὶ ἠλακάτης, πρὸς τὰς ἀρχάς τε καὶ τὰς ἐξουσίας διηγωνίσατο καὶ τὸν παλαιὸν ἐνίκησε πτερνιστήν, ἐνδυναμωθὲν ἀπὸ ἀσθενείας, τὸ τοῦ Παύλου καθ' ὥραν εἰπεῖν, καὶ ἰσχυρὸν γενόμενον ἐν πολέμῳ εἰς δόξαν καὶ αἴνεσιν Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν, ὅτι αὐτῷ πρέπει τιμὴ καὶ προσκύνησις σὺν τῷ ἀνάρχῳ Πατρὶ καὶ τῷ ζωοποιῷ Πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς ἀτελευτήτους αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Τῇ αὐτῇ ἡμέρᾳ Μνήμη τῶν ἁγίων Μαρτύρων Ὀνησιφόρου καὶ Πορφυρίου.

Τῇ αὐτῇ ἡμέρᾳ Μνήμη τῆς ὁσίας Μητρὸς ἡμῶν Ματρώνης.

Τῇ αὐτῇ ἡμέρᾳ Μνήμη τῶν ἁγίων Γυναικῶν Εὐστολίας καὶ Σωπάτρας.

Τῇ αὐτῇ ἡμέρᾳ Μνήμη τοῦ ἁγίου Ἀντωνίου.

Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος Χριστοφόρος καὶ Μαύρα ξίφει τελειοῦνται.

Τῇ αὐτῇ ἡμέρᾳ ὁ ὅσιος Ἰωάννης ὁ Κολοβὸς καὶ ὁ ὅσιος Ἑλλάδιος ἐν εἰρήνῃ τελειοῦνται.

Ταῖς τῶν ἁγίων σου πρεσβείαις Χριστὲ ὁ Θεὸς ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

## Ὠδὴ Ζ'.

Δροσοβόλον μὲν τὴν κάμινον εἰργάσατο ἄγγελος τοῖς ὁσίοις παισί, τοὺς Χαλδαίους δὲ καταφλέγον πρόσταγμα Θεοῦ, τὸν τύραννον ἔπεισε βοᾶν, εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Ἱλαστήριον κεκτήμεθά σε πάντοτε, πρὸς Κύριον, ἐν πᾶσι δεινοῖς, διὸ αἴτησαι τοῦ ῥυσθῆναι πάντων τῶν ἐκεῖ φρικτῶν κολάσεων, ἄχραντε, τοὺς Θεοτόκον ἀληθῆ ὁμολογοῦντάς Σε.

www.tezaurliturgic.ro



Μὴ ἀφέλης ἀπ' ἐμοῦ, θεογεννήτρια, τὴν σκέπην σου καὶ τὴν ἀντίληψίν σου, ἀλλὰ γένοιο ἐν γῇ ζῶντί μοι χειραγωγός, χειμαζομένῳ μοι βοηθός, μεθισταμένῳ ποδηγέτις καὶ κρινομένῳ φρουρός.

Ἱκετεύουσα μὴ παύσῃ τὸν φιλάνθρωπον Θεὸν ἡμῶν, πανάμωμε, ὅπως λάβωμεν παντελῆ συγχώρησιν ἀεί, καὶ τύχωμεν τῶν ἐν οὐρανοῖς ἡτοιμασμένων ἀγαθῶν, δι' εὐσπλαγχνίαν αὐτοῦ.

Ἡ τὸ φῶς τὸ ἐκ φωτὸς ἀποκυήσασα, νεφέλη πανυπέρφωτε, φωταγώγησον σκοτισθεῖσαν πάθεσι πολλοῖς ψυχὴν ἐμὴν καὶ Σαῖς μαρμαρυγαῖς καὶ τοῦ ἐκλάμψαντος ἐκ σοῦ φωτός με φαίδρυνον.

Τῆς Ἁγίας ὅμοιον

Ἀγνοήσασα τὴν φύσεως τοῦ θήλεος ἀσθένειαν, ὅλην σαὐτὴν ἐκδέδωκας, Θεοκτίστη, πόνοις τοῖς ἀσκητικοῖς ἐν πίστει βοῶσα τῷ Χριστῷ, εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Πῦρ τὸ θεῖον ἐν καρδίᾳ σου ἀνάψαν κατεμάρανε, μῆτερ, σαρκὸς τὸ φρόνημα καὶ ἰσαγγέλως ζῶσα ἐν τῇ γῇ, ἐμιμήσω Παῦλον ὡς τὸ πρίν, μεθ' οὗ βοᾷς νῦν τῷ Χριστῷ, εὐλογητὸς ὁ Θεός.

Σὺν ἀγγέλοις νῦν παρίστασαι, καὶ ταῖς παρθένοις καὶ ὁσίοις ἅπασι τῷ σῷ νυμφίῳ Χριστῷ, ὅν περ ἐκτενῶς ἱκέτευε, τῆς φλογὸς ἡμᾶς ρυσθῆναι, καὶ τυχεῖν τῆς βασιλείας αὐτοῦ.

Θεοτοκίον

Τομὴ θανάτου προσεγγίζει μοι, Δέσποινα, καὶ πτοεῖ με ἁγνή. Οὐ γὰρ ἔχω πράξεις ἀγαθάς, διόπερ παράσχου μοι ἰσχὺν καὶ προθεσμίαν τῆς ζωῆς μετανοῆσαι θερμῶς.

Ἕτερα τῆς Ἁγίας. «***Οὐκ ἐλάτρευσαν τῇ κτίσει***»

Ἐκ πρωΐας ἀμπελῶνι Κυρίου ἐνεκαρτέρησας, ὁσία, ὡς ἀληθῶς, καὶ καύσωνα ἤνεγκας, ἱδρῶτας πόνους τε. Ὅθεν εἴληφας ἀξίως τὸ δηνάριον τῇ τοῦ βίου σου ὁσιότητι.

Νυσταγμὸν τοῖς σοῖς βλεφάροις, ἔνδοξε, οὐκ ἔδωκας εἰμὴ σαὐτὴν ἀληθῶς τοῦ πνεύματος τέμενος ἐπετέλεσας, ἀνακράζουσα, Εὐλογητὸς εἶ Κύριε ὁ Θεὸς εἰς τοὺς αἰῶνας.



Μέχρι τέλους τῆς ἀσκήσεως τὸν δρόμον ἐτέλεσας, μῆτερ, ἀκλόνητος, τὴν ταύτης ἀκρίβειαν σώζουσα πάντοτε, δι' ἧς ἔτυχες καὶ τῆς ἀφράστου δόξης νῦν, Θεοκτίστη, εἰς αἰῶνας.

Θεοτοκίον

Ξενωθέντας τοῦ Θεοῦ, ἀπάτῃ ὄφεως, βροτούς, θεόνυμφε, ἀνεκαλέσω πρὸς Θεόν, βροτωθέντα, τεχθέντα δ' ἐξ αἱμάτων σου, ὃ ἦν μείναντα καὶ ὃ οὐκ ἦν γενόμενον, διὸ πάντες σὲ ὑμνοῦμεν.

Καταβασία. ***Οὐκ ἐλάτρευσαν τῇ κτίσει***

Ὠδὴ Η΄.

Ἐκ φλογὸς τοῖς ὁσίοις δρόσον ἐπήγασας καὶ δικαίου θυσίαν ὕδατι ἔφλεξας, ἅπαντα γὰρ δρᾷς Χριστέ, μόνῳ τῷ βούλεσθαι. Σὲ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ἡ πηγὴ τοῦ ἐλέους ἡ ἀδαπάνητος, τῆς χρηστότητος κρήνη ἡ ἀνεξάντλητος. Τὸ τῶν οἰκτιρμῶν ἀδιόριστον πέλαγος, σῶσόν με παρθένε, ἁγία Θεοτόκε.

Ὁ κρατὴρ ὁ προχέων οἶνον, ὁ λουτὴρ ὁ ἐκπλύνων ρύπον ἐγκάρδιον, ὁ τῆς θεϊκῆς χορηγὸς ἀγαθότητος. Σῶσόν με, Παρθένε, τὸν πόθῳ Σε ὑμνοῦντα.

Τὰ βαρέα φορτία τῶν ἐγκλημάτων μου, ἐπ' αὐχένα μου φέρων κράζω τὸ ἥμαρτον καὶ ἀναισθητῶν ἐπιμένω τοῖς χείροσιν· οἴκτειρόν με, κόρη, ἐλπὶς ἀπηλπισμένων.

Ναὸς ἅγιος οὖσα καὶ καθαρώτατος, τοῦ ἁγίου ἔμπλεως Δέσποινα Πνεύματος· κάθαρον κἀμοῦ τὸν ναὸν ἁγιάζουσα τὸν βεβηλωμένον ἐννοίαις ἐναγέσιν.

Τῆς Ἁγίας ὅμοιον

Ὡς νεκράν σε κατεῖδεν, ἐλθὼν τὸ δεύτερον, κατορύξας μνημεῖον σὲ ἐναπέθετο, δόξαν Θεῷ ἀναπέμπων ὁ κυνηγός, ὃς καὶ τὴν σὴν χεῖρα, ἀφεῖλεν εὐλαβείᾳ.

Τῇ νηῒ προσεπέβη πρὸς τὰ οἰκεῖα μολών, τὴν σὴν χεῖρα, μῆτερ, ὁ ἀφελόμενος, οὐ μὴν ἠδυνήθη τὸ πλοῖον πρόσω χωρεῖν, ἕως οὗ ὀπίσω στραφεὶς ταύτην ἀπέθετο.

www.tezaurliturgic.ro



Ως δὲ ἔγνων οἱ ναῦται, μῆτερ, τὸ σύμβαμα, παραυτίκα στραφέντες, μάτην, οὐχ εὑρόν Σε, κρίμασι Θεός, δὲ (οἷς οἶδε) ἐκ Πάρου σε, ἄρας ἔθετό σε νῦν ἐν τῇ Ἰκαρίᾳ.

Θεοτοκίον

Εν τῇ ὥρᾳ, παρθένε, ᾗ χωρισθήσεται ἡ ἀθλία ψυχή μου ἐκ τοῦ σαρκίου μου, φάνηθι αὐτὴν περισκέπουσα, ρύουσα ἐκ χειρὸς δαιμόνων, ἵνα Σὲ μεγαλύνω.

Ἕτερα τῆς Ἁγίας. «***Παῖδας εὐαγεῖς***»

Ο πάλαι καυχώμενος ἀμέτρως ὁ ἄρχων τούτου τοῦ αἰῶνος πέπτωκε πατούμενος, ὑπὸ σοῦ πανόλβιε, τοῦ γὰρ Σταυροῦ τὴν δύναμιν σὺ περιφέρουσα ἀνδρείως, Θεοκτίστη, καθεῖλες, τὴν ὀφρὺν τὴν τούτου, Χριστὸν ὑμνολογοῦσα.

Παράδεισος σὺ διηνθισμένος· καὶ κλῆμα τῆς νοητῆς ἀμπέλου γέγονας, βότρυας προσφέρουσα, οἶνον κατανύξεως, ἡμῖν τοῖς Σὲ γεραίρουσιν ἐναποστάζουσα. Οὗ πίνοντες ὑμνοῦμεν ἀπαύστως τὸν ἰσχὺν σοι δόντα αὐτῷ εὐαρεστῆσαι.

Πρὸς πλάτος ἐπέβης τὸ τοῦ πόλου, ἀγγέλοις συμμέλπουσα, τῷ κτίστῃ σου ὕμνον τὸν τρισάγιον, Θεοκτίστη ἔνδοξε. Τοὺς οὖν ἐν τῇ γῇ τιμῶντάς σε, καὶ προσκυνοῦντας πιστῶς, τὴν πάνσεπτον σορὸν τῶν λειψάνων δίδου τῶν ὀφλημάτων, ταῖς σαῖς εὐχαῖς τὴν λύσιν.

Θεοτοκίον

Αγίων εἰς ἅγια τραφεῖσα, ἁγίων τὸν ὑπεράγιον γεγέννηκας, ἁγία Θεόνυμφε, ὅθεν ἐν ἁγίαις σοὶ φωναῖς πάντες κραυγάζομεν, χαῖρε μητρόθεε, ἁγία Θεοτόκε παρθένε, χαῖρε τῶν ἁγίων ἀγγέλων χαρμοσύνη.

Καταβασία. ***Παῖδας εὐαγεῖς***

Ὠδὴ Θ΄.

Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον, ὃν οὐ τολμᾷ ἀγγέλων ἀτενίσαι τὰ τάγματα· διὰ σοῦ δέ, πάναγνε, ὠράθη βροτοῖς λόγος σεσαρκωμένος, ὃν μεγαλύνοντες, σὺν ταῖς οὐρανίαις στρατιαῖς σὲ μακαρίζομεν.

Νυμφὼν τοῦ λόγου, κόρη ὁλόφωτε, χρυσοφαὴς λυχνία, πορφυρόμορφε θάλαμε, λογικὴ ἀργυρόπλοκε ζῶσα σκηνή, ἔμψυχε Θεοῦ θρόνε, πύρινον ὄχημα, πάγχρυσε Παστάς, περικαλλὴς Δέσποινα, σῶσόν με.



Φρικτῇ κολάσει εἰμὶ ὑπεύθυνος ζῶν ἀμελῶς καὶ βίον διανύων παμβέβηλον, ἀλλ' ὁ αἴρων τοῦ κόσμου τὰ πταίσματα, δέξαι νῦν τὴν μικράν μου ἐξομολόγησιν, καὶ ταῖς ἱκεσίαις τῆς σῆς μητρὸς πυρός με λύτρωσαι.

Ιδοὺ προσπίπτω σοι παναμώμητε, πίστει θερμῇ, τὴν ἄκραν τῆς ψυχῆς μου ἀπόγνωσιν, εἰς τὸ μέγα καὶ ἄπειρον πέλαγος τῆς σῆς ἀγαθωσύνης καὶ τῆς χρηστότητος ρίψας καὶ βοῶν Σοι ἐν κλαυθμῷ, Δέσποινα, σῶσόν με.

Ελέησόν με Θεοχαρίτωτε, διὰ τὸ πλῆθος κόρη τοῦ ἐλέους σου δέομαι, ἵνα κράζω ἀεὶ σοὶ γηθόμενος· χαῖρε Εὐλογημένη, Θεογεννήτρια, χαῖρε Παναγία Μαριὰμ πάντων ἄνασσα.

Τῆς Ἁγίας ὅμοιον

Τυχοῦσα τῆς σῆς ἐφέσεως, δι' ἧς περ ἐλογίσω πάντα κόσμον ὡς σκύβαλα· τοῖς ὑμνοῦσί σε πόθῳ ἀντάμειψιν δώρησαι τῶν πταισμάτων νῦν τὴν συγχώρησιν, ταῖς σαῖς ἱκεσίαις πρὸς Χριστόν, τὸν σὲ δοξάσαντα.

Τρυγὼν φιλέρημε καὶ φιλήσυχε, Περιστερά τε θεία, Θεοκτίστη πανένδοξε, τὰ σὰ τέκνα, ὦ μῆτερ, σπλαγχνίσθητι, μηδὲ ἀπαξιώσῃς σῆς ἐπισκέψεως, ἀλλ' ἀεὶ προΐστασο ἡμῶν τῇ μεσιτείᾳ σου.

Τῷ πόθῳ, μῆτερ, σοὶ προσκομίσαντι, ὥσπερ λεπτὰ τῆς χήρας τὸ ἐφύμνιον πρόσδεξαι· χορηγοῦσα ἰσχὺν πρὸς τὰ κρείττονα νέμουσα καὶ πταισμάτων μοι τὴν συγχώρησιν.

Ἕτερα τῆς Ἁγίας. «***Ἅπας γηγενής***»

Φέρουσα χερσί, σταυρὸν τὸν πανάγιον ὥσπερ πηδάλιον, πίστιν δὲ ὡς ἄγκυραν, καὶ τὴν ἐλπίδα διαπετάσασα, τοῦ βίου πολυκίνδυνον θάλασσαν ἔπλευσας, ἀγωγίμοις πλήρη τὴν ὁλκάδα σου Θεοκτίστη πρὸς πόλον ὁρμίσασα.

Ηδη τῆς σαρκὸς τῶν κλείθρων ἀρθέντων Σοι, μῆτερ, ὁρᾷς τηλαυγῶς κάλλος τὸ ἀνέκφραστον. Καὶ τῶν σῶν πόνων νῦν τὴν ἀνάπαυλαν, εὑροῦσα καθικέτευε, ὑπὲρ τῆς ποίμνης σου, τῆς τελούσης πόθῳ σὴν πανήγυριν, ἐν εἰρήνῃ τὸ ζῆν περαιώσασθαι.

www.tezaurliturgic.ro



Δέχου τὴν ᾠδὴν ἀχρείου ἐκ στόματος, ἣν σοὶ προσήνεγκα, ὦ μῆτερ ἀοίδιμε, καὶ γὰρ ὡς τέκνον εἰ καὶ ἀνάξιον σοὶ τῇ μητρὶ τεθάρρηκα· μὴ οὖν βδελύξῃ με, ἀλλ' ἀμέμπτως ζῆν νῦν με ἀξίωσον, ἀπάραντα δὲ βίου ὑπόδεξαι.

Καταβασία. *Ἅπας γηγενὴς*

Θεοτοκίον

Σῶσόν με ἁγνή, τὸν ἀχρεῖον δοῦλόν σου, πίστει σοι κράζοντα, χαῖρε οἰκητήριον, τοῦ βασιλέως Χριστοῦ πανάμωμε, χαῖρε ἡ θεία τράπεζα, ἄρτον βαστάσασα ζωῆς, κόρη, χαῖρε βάτε ἄφλεκτε, Θεοτόκε Μαρία παντάνασσα.

Ἐξαποστειλάριον. «*Γυναῖκες ἀκουτίσθητε*»

Σταυρὸν ἐπ' ὤμων ἄρασα, Χριστῷ κατηκολούθησας καὶ ἐν ἐρήμῳ κατῴκεις ὑπὸ πάντων ἀγνοουμένη, πέντε πρὸς τοῖς τριάκοντα χρόνους ἐν ταύτῃ ἤνυσας, ἐν δὲ τῷ τέλει Κύριος ἐδήλωσέ Σε ἀνθρώποις ὡς θησαυρὸν Θεοκτίστη. *(Δίς)*

Μαρία καθαρώτατον, χρυσοῦν θυμιατήριον, τῆς ἀχωρήτου Τριάδος δοχεῖον γεγενημένη, ἐν ᾧ Πατὴρ ηὐδόκησεν, ὁ δὲ Υἱὸς ἐσκήνωσε, καὶ Πνεῦμα τὸ πανάγιον ἐπισκιάσαν σοι, κόρη, ἀνέδειξε Θεοτόκον.

Εἰς τοὺς Αἴνους. Ἱστῶμεν στίχ. δ', καὶ ψάλλομεν στιχηρὰ προσόμοια δ'. *ἦχος α'.* «*Τῶν οὐρανίων ταγμάτων*»

Ἐν ταῖς αὐλαῖς τοῦ Κυρίου χοροβατοῦσα σεμνή, καὶ σὺν παρθένοις, μῆτερ, ταῖς φρονίμοις ἐκείναις, νυμφῶνος ἀθανάτου, ἔνδον ἀεὶ κατοικεῖν κατηξίωσαι· τῶν σὲ τιμώντων, μὴ παύσῃ οὖν πρὸς Χριστόν, Θεοκτίστη, ὑπερεύχεσθαι.

Τῶν ἀθεάτων τὰ κάλλη νῦν περιθέουσα, καὶ τὴν φρικτὴν ἐκείνην κατοπτεύουσα δόξαν, ἁγία Θεοκτίστη, μέλπεις ἀεί, σὺν ἀγγέλοις τὸ ἅγιος, ἅγιος, ἅγιος ὄντως εἶ ὁ Πατήρ, σὺν Υἱῷ τε καὶ τῷ Πνεύματι.

Τῶν φιλεόρτων τὰ πλήθη, δεῦτε συνέλθετε, τῆς θείας Θεοκτίστης τῇ ἐνδόξῳ ἡμέρᾳ, ἐνθέως εὐφρανθῶμεν, τιμῶντες αὐτήν, ἱεροῖς μελῳδήμασι, καὶ γὰρ αὐτὴ ἐγεγόνει ὄλβος ἡμῖν, χαρισθεῖσα τῇ Πατρίδι ἡμῶν.



Τοὺς ἐτησίως τελοῦντας σοῦ τὸ μνημόσυνον καὶ προσκυνοῦντας πίστει τὴν ἁγίαν σου κάραν, λύτρωσαι κινδύνων παντοδαπῶν, καὶ χορήγησον ἅπασι τὰ τὴν ζωὴν συνιστῶντα, ταῖς σαῖς εὐχαῖς, Θεοκτίστη, πρὸς τὸν Κύριον.

***Δόξα. ἦχος δ'.***

Σήμερον ἐξέλαμψεν ἡμῖν τῆς Θεοκτίστης ἡ σεβάσμιος πανήγυρις· ἥνπερ ἐκ τῆς Πάρου πρὸς ἡμᾶς ὁ Θεὸς ἀρρήτοις κρίμασιν ἀνεκόμισεν, ὡς πλοῦτον ἀναφαίρετον καὶ πηγὴν ἰαμάτων, καὶ καύχημα τῆς ἡμῶν πατρίδος· δεῦτε οὖν πάντες τὴν θείαν κάραν αὐτῆς κυκλοῦντες, συμφώνως βοήσομεν πρὸς αὐτήν. Ἐπίβλεψον ἐφ' ἡμᾶς, πανένδοξε Θεοκτίστη, λῦσον τῶν συμφορῶν ἡμῶν τὸ νέφος, τῇ πρὸς Χριστὸν παρρησίᾳ σου, καὶ αἴτησαι ἡμῖν τὸ μέγα ἔλεος.

***Καὶ νῦν***: Προεόρτιον. ***Σήμερον ὁ Θεοχώρητος ναός.***

***Δοξολογία μεγάλη***

**ΚΑΙ ΑΠΟΛΥΣΙΣ**

---

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ Τυπικά, καὶ ἐκ τοῦ Κανόνος ἡ γ' καὶ ἡ ϛ' ᾠδή. Ὁ Ἀπόστολος: Ἀδελφοί, ὁ καρπὸς τοῦ Πνεύματος. Εὐαγγέλιον: Ἐκ τοῦ κατὰ Ἰωάννην, Εἶπεν ὁ Κύριος. Ἐγώ εἰμι ἡ θύρα.

***Μεγαλυνάρια***

Τὸ τῆς Λέσβου ἔρνος τὸ ἱερόν, καὶ τῆς Πάρου κῦδος, Ἰκαρίας τὸν πλουτισμόν, χριστωνύμων πάντων τὸ καύχημα τὸ μέγα, ὁσία Θεοκτίστη, ὕμνοις τιμῶμέν σε.

Χαίροις Ἐκκλησίας τῆς τοῦ Χριστοῦ τερπνότατον ἄνθος, Θεοκτίστη μῆτερ σεμνή· τὸ εὐωδιάζον τοῖς χριστωνύμοις πᾶσι, ὀδμαῖς κατορθωμάτων τῶν ἀμιμήτων σου.

Ἵλεων ἀπέργασαι τὸν Χριστὸν τοῖς ἀσπαζομένοις τὰ σὰ λείψανα εὐλαβῶς καὶ ἐπιτελοῦσι τὴν μνήμην σου τὴν θείαν, ὁσία Θεοκτίστη Θεομακάριστε.

Κοινωνικόν: Εἰς μνημόσυνον αἰώνιον.

ΤΕΛΟΣ

ΒΙΒΛΙΟΘΗΚΗ ... ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

www.tezaurliturgic.ro

# ΟΙ ΕΞ ΙΚΑΡΙΑΣ κ. κ. ΣΥΝΔΡΟΜΗΤΑΙ

| | |
|---|---|
| Ἐμμανουὴλ Γεωργιάδης, Πρόεδρος τοῦ Συνδ. τῶν Ἰκαρίων ἐν Καΐρῳ | 2 |
| Ἠλίας Παμφίλης, Πρόεδρος τῆς ἐν Ἀλεξανδρ. Ἀδελφότ. τῶν Ἰκαρίων | 1 |
| Χαράλαμπος Παμφίλης, Ἀντιπρόεδρος | 1 |
| Κ. Ι. Παπαλᾶς | 2 |
| Ἀναστάσ. Ν. Λέφας | 1 |
| Δημήτριος Ε. Μαρκάκης | 1 |
| Νικόλαος Κ. Μωραΐτης | 1 |
| Γεώργιος Κ. Μούγιαννης | 1 |
| Παντελῆς Οἰκονόμος | 1 |
| Ἐμμανουὴλ Μούγιαννης | 1 |
| Χριστόδουλος Ἀνταράκης | 1 |
| Ζαχαρίας Η. Μαλαχίας | 1 |
| Βασίλειος Αὐγ. Σαφὸς | 1 |
| Ἀδελφοὶ Κ. Πάστη | 1 |
| Σπῦρος Ποῦλλος | 1 |
| Σταυρινὸς Ἀποστολάκης | 1 |
| Θεόδωρος Ζ. Ποῦλλος | 1 |
| Ἠλίας Ζήζης | 1 |
| Νικόλαος Γιακ. Βασίλαρος | 1 |
| Ἀντώνιος Π. Κ. Μαυρίκης | Ι |
| Βασίλειος Ξενάκης | 1 |
| Φίλιππος Λ. Πυροβολικὸς | 1 |
| Γεώργιος Τραμπουλάκης | 1 |
| Ἐλισσάβετ Π. Καραφᾶ | 1 |
| Ἀδελ. Ν. Ἐμ. Κοντογιάννη | 1 |
| Γεώργιος Ἰ. Μωραΐτης | 1 |
| Νικόλαος Ξ. Τσαμπῆς | 1 |
| Ἰωάννης Γ. Κεφαλᾶς | 1 |
| Ἰωάννης Τσαντὲς | 1 |
| Ἀθανάσιος Τριπουλᾶς | 1 |
| Νικόλαος Θ. Γλαρὸς | 1 |
| Κωνσταντῖνος Γλαρὸς | 1 |
| Σ. Παπανικολάου | 1 |
| Θεόδωρος Α. Τσουρῆς | 1 |
| Μιχαὴλ Ν. Ἀδαμάκης | 1 |
| Ἰ. Δ. Πυροβολικὸς | 1 |
| Νικόλαος Δ. Γλαρὸς | 1 |
| Βασιλικὼ Κ. Ζαχαριάδη | 1 |
| Δημήτριος Μαυρίκης | 1 |
| Κυριάκος Μαραγκούδης | 1 |
| Κωνσταντῖνος Κολαμάκης | 1 |
| Ἰ. Α. Στενὸς | 1 |
| Σπυρίδων Τέσκος | 1 |
| Νικόλαος Κ. Κουκῆς | 1 |
| Σῖμος Α. Κόχιλας | 1 |
| Ἰωάννης Παπαβασιλείου | 1 |
| Γεώργιος Ν. Κόχιλας | 1 |
| Κωνσταντῖνος Τσαντίρης | 1 |
| Νικόλαος Τέσκος | 1 |
| Κυριάκος Στενός, ἱερεὺς | 1 |
| Κ. Πολίτης | 1 |
| Β. Δ. Παπαβασιλάκης | 1 |
| Ἰωάννης Γ. Τσαντίρης | 1 |
| Ἰωάννης Μελῆς | 1 |
| Κωνσταντῖνος Κοῦβδος | 1 |

www.tezaurliturgic.ro



| | | | |
|---|---|---|---|
| Κωνσταντῆς Φάκαρος | 1 | Γεώργιος Τσαχᾶς | 1 |
| Σταμάτιος Χ. Καρίμαλης | 1 | Γεώργιος Κόχιλας | 1 |
| Κωνστ. Μαυρίκης, ἱερεὺς | 1 | Χριστόδουλος Στρούπας | 1 |
| Ἐμμ. Μωραΐτης, ἱερεὺς | 1 | Βασίλειος Καράπτης | 1 |
| Ἀλέξανδρος Δ. Ράπτης | 1 | Ἀγγελῆς Καζαμάνης | 1 |
| Ἰωάννης Τρατρᾶς | 1 | Ἀναγνώστης Φωκιανὸς | 1 |
| Πέτρος Κ. Μούγιαννης | 1 | Ἠλίας Χουτρίδης | 1 |
| Θεολόγος Μαυρονικόλαος | 1 | Βασίλειος Ε. Κοτσωφλάκης | 1 |
| Ἰ. Ἀμάξης | 1 | Μιχαὴλ Ἰ. Σπανὸς | 1 |
| Ἰ. Μούγιαννης | 1 | Ἰωάννης Καραμπάσης | 1 |
| Ἀντώνιος Μαυρονικόλας | 1 | Γ. Μ. Καλύμνιος | 1 |
| Κυριακούλα Οἰκονόμου | 1 | Ἰωάννης Θ. Κοτσάνης | 1 |
| Βασίλειος Παπαλᾶς | 1 | Χρῖστος Ζ. Σπέης | 1 |
| Ματθαῖος Τσαρνᾶς | 1 | Παναγιώτης Καραγιαννάκης | 1 |
| Κ. Παγκέρης | 1 | Εὐάγγελος Ν. Ἀνδριώτης | 1 |
| Γεώργιος Κατσουλιέρης | 1 | Ἀφροδίτη Χονδρουδάκη | 1 |
| Γεώργιος Ἠ. Ἀμάξης | 1 | Ἀθανάσιος Θ. Πλάκας | 1 |
| Ἐμμαν. Παμφίλης | 1 | Νικόλαος Λιτσαρδῆς | 1 |
| Χριστόδουλος Ξ. Ξενάκης | 1 | Στυλιανὸς Γ. Μπαζαῖος | 1 |
| Θ. Λ. Μαλαχίας | 1 | Εὐάγγελος Νικολαΐδης | 1 |
| Μιχαὴλ Θ. Κατσαρὸς | 1 | Δημήτριος Χαζλαρίδης | 1 |
| Γ. Σ. Ζητούλας | 1 | Ἰωάννης Κ. Τουφεξῆς | 1 |
| Ἰωάννης Ν. Λοΐζος | 1 | Γεώργιος Α. Μαλαχίας | 1 |
| Στυλιανὸς Γ. Γλαρὸς | 1 | Τριαντάφυλλος Μουλᾶς | 1 |
| Παντελῆς Καβουριάρης | 1 | Ἰωάννης Σ. Μάζαρης | 1 |
| Στυλιανὸς Κυπραῖος | 1 | Σταμάτιος Μάζαρης | 1 |
| Φίλιππος Λούλης | 1 | Νικόλαος Χ. Κοῦσκος | 1 |
| Μιχαὴλ Α. Κατσαρὸς | 1 | Ἀθανάσιος Τσίρος | 1 |
| Νῖκος Παπαϊωάννου | 1 | Ἀργύριος Μοθωνιὸς | 1 |
| Δημήτριος Τσαρνᾶς | 1 | Χ. Σπανὸς | 1 |
| Στυλιανὸς Σκάβδης | 1 | Α. Ι. Σπανὸς | 1 |
| Γεώργιος Χ. Κατσᾶς | 1 | Νικόλαος Σπανός, ἱερεὺς | 1 |
| Ἀντώνιος Κριτικὸς | 1 | Χαράλαμπος Μάζαρης | 1 |
| Πέτρος Μανιάκος | 1 | Γεώργιος Κοζαμάνης | 1 |
| Ἰωάννης Πουλιανὸς | 1 | Κωνσταντῖνος Δουρῆς | 1 |
| Γεώργιος Ν. Τσούννης | 1 | Ἰωάννης Κώτης | 1 |
| Ἀπόστολος Π. Κ. Στενὸς | 1 | Νικόλαος Ἰ. Δουρῆς | 1 |
| Χαράλαμπος Ἀνταράκις | 1 | Γ. Στ. Λομβαρδᾶς, Σχολάρχης | 2 |
| Γεράσιμος Μουλᾶς | 1 | Ἱ. Ναὸς ἁγ. Πολυκάρπου | 1 |
| Ἰωάννης Δ. Γιαγουρτᾶς | 1 | Κυριάκος Γ. Πλακίδας | 1 |



| | | | |
|---|---|---|---|
| Δημήτριος Παπαχειμόνας | 1 | Γεώργιος Σ. Καστανιᾶς | 1 |
| Στυλιανὸς Κουτούφαρης, ἱερεὺς | 1 | Ἠλίας Παπλωματᾶς | 1 |
| Ἀπόστολος Πέδος | 1 | Παπακωνσταντῖνος Σπανὸς | 1 |
| Ἀνδρέας Παλαιολόγος | 1 | Κυριάκος Κουκῆς | 1 |
| Ἀ. Ἰ. Στενὸς | 1 | Ἀπόστολος Παρίκος | 1 |
| Νικόλαος Σ. Κοτσάπτης | 1 | Νικολῆς Σ. Κουτούφαρις | 1 |
| Κωνσταντῖνος Ἰ. Πλάκας | 1 | Σιδερῆς Α. Μουλᾶς | 1 |
| Περικλῆς Φάκαρης | 1 | Ἀρχιμ. Ἠ. Μουσέτης | 1 |
| Σταῦρος Γ. Πολίτης | 1 | Ἱερεὺς Μαλαχίας | 1 |
| Νικόλαος Κ. Καροῦτσος | 1 | Ἱερεὺς Στέφ. Φάκαρος | 1 |
| Μαρία Κ. Νικολαΐδου | 1 | Κωνσταντῖνος Ράπτης | 1 |
| Γεώργιος Ζ. Μαλαχίας | 1 | Ἰωάννης Α. Ἀϊβαλιώτης | 1 |
| Ν. Πάτελλος | 1 | Ἐμμανουὴλ Ν. Ἀποστολίδης | 1 |
| Ζανῆς Σμαράγδης | 1 | Ἐμμανουὴλ Εὐ. Μαμματᾶς | 1 |
| Γρηγόριος Βουλγαρίκης | 1 | Γεώργιος ΠαπαΗλία | 1 |
| Ἠλίας Μπατοῦγιος | 1 | Στέφανος Καΐτης | 1 |
| Ἠλίας Χαλβᾶς | 1 | Ἀνδρέας Μαμματᾶς | 1 |
| Ἀντώνιος Μάζαρης | 1 | Ἀπόστολος Παργιανὸς | 1 |
| Χριστόδουλος Α. Πίτακας | 1 | Ἀλέξανδρος Δ. Ράπτης | 1 |
| Ἰωάννης Ν. Κάντιας | 1 | Εὐστράτιος Μαυροδόντης | 1 |
| Στρατῆς Δ. Μουλᾶς | 1 | Πέτρος Οἰκονόμος | 1 |
| Σαράντης Α. Ἀλλελὲς | 1 | Χρῖστος Μαμματᾶς | 1 |
| Ἰωάννης Γ. Βλάχος | 1 | Γεώργιος Μαυροδόντης | 1 |
| Γεώργιος Σ. Ποῦλλος | 1 | Θεμιστοκλῆς Ράπτης | 1 |
| Ἰωάννης Α. Ἀλλελὲς | 1 | Βασίλειος Ν. Μαντακούνης | 1 |
| Σταμάτιος Χ. Μπατοῦγιος | 1 | Ἠλίας Τσαμπῆς | 1 |
| Ἰωάννης Δ. Λεσὲς | 1 | Γεώργιος Χ. Κατσᾶς | 1 |
| Νικόλαος Χρῆστος | 1 | Σαράντης Α. Γέμελας | 1 |
| Κυριάκος Καρίμαλης, ἱερεὺς | 1 | Ἀριστοτέλης Ἀϊβαλιώτης | 1 |
| Χριστόδουλος Μπριλὶς | 1 | Σταμάτιος Η. Δουρῆς | 1 |
| Ἰωάννης Σχίζας | 1 | Χρῖστος Κ. Τσαμπῆς | 1 |
| Μιχαὴλ Κοῦβδος | 1 | Νικήτας Π. Τριπόδης | 1 |
| Νικόλαος Στενὸς | 1 | Σταμάτιος Π. Τριπόδης | 1 |
| Ἰωσὴφ Στενὸς | 1 | Ἰωάννης Β. Κούβαρης | 1 |
| Ἀπόστολος Ζ. Κόχιλας | 1 | Νικόλαος Σ. Κράτσας | 1 |
| Νικόλαος Σ. Μελῆς | 1 | Βασίλειος Ν. Βροῦτος | 1 |
| Γεώργιος Ν. Γιάκας | 1 | Ζαχαρίας Κατσᾶς | 1 |
| Κωνσταντῖνος Ἰ. Καρίμαλης | 1 | Κωνσταντῖνος Π. Παργιάρος | 1 |
| Νικόλαος Π. Ἠ. Καραπέτη | 1 | Κωνσταντῖνος Σ. Σταυρινάδης | 1 |
| Κωνσταντῖνος Γ. Πάτελλος | 1 | Κατίνα Γ. Παντελάδη | 1 |

www.tezaurliturgic.ro



| | | | |
|---|---|---|---|
| Ἀρχοντούλα Χερουβῆ | 1 | Ἀλέξανδρος Ἰ. Σχίζας | 1 |
| Βασιλεία Χερουβῆ | 1 | Νικόλαος Ζ. Καροῦτσος | 1 |
| Ἀσημίνα Μούγιαννη | 1 | Κωνσταντῆς Μελῆς | 1 |
| Ἑλένη Παμφίλη | 1 | Γεώργιος Ἰ. Παῖδος | 1 |
| Στυλιανὴ Λούλλη | 1 | Ἀλέξανδρος Δρετσάκης | 1 |
| Ἑλένη Χρυσοχοῦ | 1 | Χαράλαμπος Κ. Γιάκας | 1 |
| Ἀργυρὼ Παπαγιωργάκη | 1 | Σπῦρος Σιερλῆς | 1 |
| Ἰφιγένεια Δούκα | 1 | Ἰωάννης Ν. Μαλαχίας | 1 |
| Καλλιόπη Δούκα | 1 | Παντελῆς Σ. Μαλαχίας | 1 |
| Β. Ι. Σιβιτανίδης | 1 | Λεωνίδας Μαλαχίας | 1 |
| Μοσχούλα Μωραΐτη | 1 | Ἰωάννης Μ. Καράπτης | 1 |
| Ἀργυρὼ Λούλλη | 1 | Ἰωάννης Δ. Κουτούφαρης | 1 |
| Κωνστ. Κουλουλίας, ἱερεὺς | 1 | Χριστόδουλος Ν. Μαλαχίας | 1 |
| Σταμάτιος Ἰω. Σαλλᾶς | 1 | Ἀθηνᾶ Τσαμούταλη | 1 |
| Κωνσταντῖνος Ν. Τσούνης | 1 | Μαριγὼ Τσαμούταλη | 1 |
| Κωνσταντῖνος Πετρῆς | 1 | Γιαννούλα Τσαμούταλη | 1 |
| Γεώργιος Πίττακας | 1 | Κ. Ἀγγελόπουλος | 1 |
| Χαραλάμπης Σπανὸς | 1 | Γεώργιος Ἀποστόλου | 1 |
| Βασίλειος Κούτης | 1 | Ἰ. Θεολογίδης | 1 |
| Ἠλίας Κωτσορνίθης | 1 | Σ. Ἀργυράκης | 1 |
| Ἠλίας Καλογερῆς | 1 | Κ. Παπαγεωργάκης | 1 |
| Ἠλίας Γενοῦζος | 1 | Θεμιστοκλῆς Τερζῆς | 1 |
| Σταμάτιος Ν. Ἀτσιδαύτης | 1 | Ζαχαρίας Κ. Κούβαρις | 1 |
| Νικόλαος Χ. Τσαργανῆς | 1 | Λέων Δουρῆς | 1 |
| Ἰσίδωρος Χ. Μακρογεώργης | 1 | Μιχαὴλ Χ. Ἰωάννου | 1 |
| Θεοφάνης Γ. Ξηρὸς | 1 | Παναγιώτης Ἠλίας | 1 |
| Σταμάτιος Στ. Μαλαθρίτης | 1 | Καραβασίλης Ρόδιος | 1 |
| Κωνσταντῖνος Α. Καλαφάτης | 1 | Ἀλέξανδρος Σοφὸς | 1 |
| Κωνστ. Πηρούδης, ἱερεὺς | 1 | Μιχαὴλ Κανάβης | 1 |
| Πέτρος Μαλαθρίτης | 1 | Ζ. Ε. Κράτσας | 1 |
| Ἰωάννης Ἀ. Γιάκας | 1 | Παρασκευὴ Ζ. Κράτσα | 1 |
| Γρηγόριος Βροῦλλος | 1 | Κ. Ν. Τερζῆς | 1 |
| Κωνσταντῆς Θ. Σπανοῦ | 1 | Θεοδόσιος Τερζῆς | 1 |
| Γεώργιος Θ. Σπανοῦ | 1 | Δημήτριος Μοῦζος | 1 |
| Μιχαὴλ Γεωργίου | 1 | Βασίλειος Λουΐζος | 1 |
| Δημήτριος Γενοῦζος | 1 | Νήφων Μαλαχίας, ἱερεὺς | 1 |
| Ζαχαρίας Ἀπ. Μαλαχίας | 1 | Ἐλισάβετ Μ. Τσαγανοῦ | 1 |
| Γεώργιος Ψοχόγηρος | 1 | Μάρθα Τσαγανοῦ | 1 |
| Χριστόδουλος Ἰ. Τσαντήρης | 1 | Σταματούλα Τσαγανοῦ | 1 |
| Ἀλέξανδρος Κ. Φάκαρος | 1 | Οὐρανία Χοργιάτη | 1 |



| | | | |
|---|---|---|---|
| Μιχαὴλ Τσαγανὸς | 1 | Ν. Μ. Ζαχαριουδάκης | 1 |
| Ἀσημίνα Πετανοῦ | 1 | Μιλ. Βογιατζῆς | 1 |
| Λεμονιὰ Πασβάνη | 1 | Κ. Μ. Φλοῖσκος | 1 |
| Φωτεινὴ Τσαγανοῦ | 1 | Καλ. Ἀλ. Σταυροπούλου | 1 |
| Μελπομένη Παπαϊωάννου | 1 | Γ. Γεωργαλᾶς | 1 |
| Ἀργυρὼ Χοργιάτη | 1 | Κ. Λοΐζος | 1 |
| Γιαννούλα Χοργιάτη | 1 | Ἀ. Ψυλλιᾶκος | 1 |
| Φωτεινὴ Ζολώτα | 1 | Α. Κ. Ξενάκης | 1 |
| Σταματούλα Ζολώτα | 1 | Ξ. Ξενάκης | 1 |
| Κυριακούλα Καβουριάρη | 1 | Ἰ. Ξενάκης | 1 |
| Ἀντώνιος Ζολώτας | 1 | Γεώργιος Πλουμιστὸς | 1 |
| Παντελῆς Χαλαμανδάρης | 1 | Λεωνίδας Γλαρὸς | 1 |
| Κυράννα Ν. Πορτέλλου | 1 | Δ. Βασίλαρος | 1 |
| Ἀσημίνα Μαλαθρίτη | 1 | Ἠλίας Γ. Βασίλαρος | 1 |
| Στέλια Καλαφάτη | 1 | Νικόλαος Λακκίδης | 1 |
| Βασιλεία Λιερῆ | 1 | Κώμαινα Βασίλαινα | 1 |
| Σ. Ν. Ἰγγλεζέλλις | 1 | Εὐάγγελος Μανδακούνης | 1 |
| Σ. Δ. Σακελλάριος | 1 | Δημήτριος Χ. Νικολάου | 1 |
| Δ. Μ. Φλοῖσκος | 1 | Ἀρετὴ Κ. Κουκνᾶ | 1 |
| Α. Καφεπώλης | 1 | Λεμονιὰ Οἰκονόμου | 1 |
| Ε. Ἰωάννου | 1 | Νικόλαος Π. Ι. Κοῦσκος | 1 |
| Θ. Ἀποστολίδης | 1 | Χριστόδουλος Γ. Πλίκας | 1 |

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

www.tezaurliturgic.ro

Σημ. Ἐν σελίδι 16 εὕρηται γέμοντι ἀντὶ νέμοντι καὶ ποθῶν ἀντὶ παθῶν, ἐν δὲ σελ. 17 μερισάμενοι ἀντὶ μερισόμενοι.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

www.tezaurliturgic.ro

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ΠΑΤΡΙΑΡΧΙΚΟΝ ΤΥΠΟΓΡΑΦΕΙΟΝ—133